This volume contains a specimen of an edition of Herodotus, designed by Dr Cyril Jackson, Dean of Christ Church, Oxford, and commenced under his superintendence, by the Rev. John Stokes of Christ Church. It was executed at the Clarendon press in Oxford: no more than this first book was printed: and even this was suppressed before publication, title page &c; and almost every copy has been destroyed.

H. Colton

Large paper. A smaller size was also printed.

9026 395.

Ἡ Ἡροδότου Ἁλικ. Ἱστ.

ΗΡΟΔΟΤΟΥ

ΤΟΥ

ΑΛΙΚΑΡΝΗΣΣΗΟΣ

ΙΣΤΟΡΙΩΝ ΠΡΩΤΗ

ἐπιγεγραμμένη

ΚΛΕΙΩ.

ΗΡΟΔΟΤΟΥ Ἁλικαρνησσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωυμαστὰ, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλεᾶ γένηται· τά τε ἄλλα, καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι [a].

[a] Retulit (teſte Photio, cxc.) Ptolemæus Hephæſtionis f. ὡς Πλησίῤῥοος ὁ Θεσσαλὸς ὁ ὑμνογράφος ἐρώμενος γεγονὼς Ἡροδότου, καὶ κληρονόμος τῶν αὐτοῦ, οὗτος ποιήσειε τὸ προοίμιον τῆς πρώτης ἱστορίας Ἡροδότου Ἁλικαρνασσέως. τὴν δὲ κατὰ φύσιν εἶναι τοῦ Ἡροδότου ἱστοριῶν ἀρχὴν· Περσέων οἱ λόγιοι κ. τ. λ. At nihil certe iſtiuſmodi neque Ariſtot. neque Plutarch. neque Dionyſ. Halic. ſubodorati ſunt: ut alios taceam, qui hoc προοίμιον, ipſo Herodoti nomine adhibito, meritis laudibus cumulaverunt. Dio autem Chryſoſt. Orat. 53. exempla ſcriptorum citans ἐν αὐτοῖς τοῖς λόγοις τε καὶ ποιήμασιν τὸ ἑαυτῶν ὄνομα συγγραφόντων, ſubjicit ſtatim, ὡς Ἑκαταῖος, καὶ Ἡρόδοτος, καὶ Θυ-

I. Περσέων μέν νυν οἱ [b] λόγιοι Φοίνικάς φασι γενέσθαι τῆς διαφορῆς αἰτίους· [c] τούτους γὰρ ἀπὸ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν, καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσιν, αὐτίκα ναυτιλίῃσι μακρῇσιν ἐπιθέσθαι· ἀπαγινέοντας δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια, τῇ τε ἄλλῃ χώρῃ ἐσαπικνέεσθαι, καὶ δὴ καὶ ἐς Ἄργος· (τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον προεῖχεν ἅπασι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χώρῃ·) ἀπικομένους δὲ τοὺς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο, [d] διατίθεσθαι τὸν φόρτον· πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ' ἧς ἀπίκοντο, ἐξεμπολημένων σφι σχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας, ἄλλας τε πολλὰς, καὶ δὴ καὶ τοῦ βασιλῆος θυγατέρα· τὸ δέ οἱ οὔνομα εἶναι κατὰ τὠϋτὸ τὸ καὶ Ἕλληνες λέγουσιν, Ἰοῦν [e] τὴν Ἰνάχου· ταύτας στάσας κατὰ πρύμνην τῆς νηὸς, ὠνέεσθαι τῶν φορτίων, τῶν σφὶν ἦν θυμὸς μάλιστα· καὶ τοὺς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ' αὐτάς· τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν ἀποφυγέειν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσιν ἁρπασθῆναι· ἐσβαλλομένους δὲ ἐς τὴν νέα, οἴχεσθαι ἀποπλέοντας ἐπ' Αἰγύπτου. Οὕτω μὲν Ἰοῦν 2

Io rapta.

κυδίδης. Qui vero ineptias haſce unus venditavit Ptolemæus Alexandrinus, Trajani et Hadriani temporibus vixit: per ætatem itaque, ut videtur, teſtis in hac re non adprime idoneus. Et in ſcriptis ejus, multa ſunt, *inquit Photius*, καὶ τερατώδη καὶ κακόπλαστα, ipſe autem ὑπόκενός τε ἐστι καὶ πρὸς ἀλαζονείαν ἐπτοημένος, καὶ οὐδ' ἀστεῖος τὴν λέξιν. Itaque cæteras ejus ineptias (quæ quidem ſatis multæ apud Photium leguntur) lubens prætereo.

[b] Λόγιος, ὁ τῆς ἱστορίας ἔμπειρος. Heſych.

[c] Cf. vii. 89.

[d] *Venumdediſſe*. Suid. διαθέσθαι, ἀντὶ τοῦ ἀποδόσθαι. Iſocrat. in Buſiride, τῇ τῶν ὄντων διαθέσει, καὶ τῇ τῶν ἐλλειπόντων κομιδῇ. Demoſth. contra Phormionem, ἐπειδὰν διάθηται τὰ φορτία. Plura congeſſit Reiſk. Ind. Demoſth.

[e] τὴν Ἰνάχου omittit Valkenaerius, recte.

ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς [f] Ἕλ-
ληνες· καὶ τῶν ἀδικημάτων τοῦτο ἄρξαι πρῶτον. Μετὰ
δὲ ταῦτα, Ἑλλήνων τινὰς (οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγή-
σασθαι) φασὶ τῆς Φοινίκης ἐς Τύρον προσχόντας, ἁρπά-
σαι τοῦ βασιλῆος τὴν θυγατέρα Εὐρώπην· εἴησαν δ' Europa.
ἂν οὗτοι Κρῆτες· ταῦτα μὲν δὴ [g] ἴσα πρὸς ἴσα σφι
γενέσθαι· μετὰ δὲ ταῦτα, Ἕλληνας αἰτίους τῆς δευτέρης
ἀδικίης γενέσθαι· καταπλώσαντας γὰρ μακρῇ νηῒ ἐς Αἶάν
τε τὴν Κολχίδα καὶ ἐπὶ Φάσιν ποταμὸν, ἐνθεῦτεν, δια-
πρηξαμένους καὶ τἄλλα τῶν εἵνεκεν ἀπίκατο, ἁρπάσαι Medea.
τοῦ βασιλῆος τὴν θυγατέρα Μηδείην· πέμψαντα δὲ τὸν A. C. 1263.
Κόλχων βασιλῆα ἐς τὴν Ἑλλάδα κήρυκα, αἰτέειν τε
δίκας τῆς ἁρπαγῆς, καὶ ἀπαιτέειν τὴν θυγατέρα· τοὺς δὲ
[h] ὑποκρίνασθαι ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν
σφι δίκας τῆς ἁρπαγῆς· οὐδὲ ὦν αὐτοὶ δώσειν ἐκείνοισι.
3 Δευτέρῃ δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον τὸν
Πριάμου, ἀκηκοότα ταῦτα, ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος Helena.
δι' ἁρπαγῆς γενέσθαι γυναῖκα, ἐπιστάμενον πάντως ὅτι
οὐ δώσει δίκας· οὔτε γὰρ ἐκείνους διδόναι· οὕτω δὴ ἁρπά-
σαντος αὐτοῦ Ἑλένην, τοῖσιν Ἕλλησι δόξαι, πρῶτον πέμ- A. C. 1198.
ψαντας ἀγγέλους, ἀπαιτέειν τε Ἑλένην, καὶ δίκας τῆς
ἁρπαγῆς αἰτέειν· τοὺς δὲ, προϊσχομένων ταῦτα, προ-
φέρειν σφι Μηδείης τὴν ἁρπαγήν· ὡς οὐ δόντες αὐτοὶ
δίκας, οὐδὲ ἐκδόντες ἀπαιτεόντων, βουλοίατό σφι παρ'

[f] Legendum omnino cum Ed. Ald. et Cod. Ven. Φοίνικες. vid. 5. huj.

[g] ix. 48. ἴσοι πρὸς ἴσους ἀριθμὸν μαχεσόμεθα. Soph. Antig. 146. ταχθέντες ἴσοι πρὸς ἴσους.

[h] Hom. Il. Η'. 406. Ἰδαῖ', ἤτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις, Ὥς τοι ὑποκρίνονται—Ad quem locum Eustathius, Οὐκ οἶδεν Ὅμηρος τὴν λέξιν τοῦ ἀποκρίνασθαι, ἀλλ' ἀντ' αὐτοῦ τῷ ὑποκρίνασθαι κέχρηται· κεῖται δὲ ἡ λέξις καὶ παρὰ τῷ Ἡροδότῳ, Ἰωνικὴ οὖσα. vid. 116. huj.

ἄλλων δίκας γίνεσθαι. Μέχρι μὲν ὧν τούτου, ἁρπαγὰς 4
μούνας εἶναι παρ' ἀλλήλων· τὸ δὲ ἀπὸ τούτου, Ἕλληνας
A. C. 1193. δὴ μεγάλως αἰτίους γενέσθαι· πρηκτῆρας γὰρ ἄρξαι στρατεύσας ἐς τὴν Ἀσίην, ἢ σφέας ἐς τὴν Εὐρώπην. Τὸ μέν νυν ἁρπάζειν γυναῖκας, ἀνδρῶν ἀδίκων νομίζειν ἔργον εἶναι· τὸ δὲ ἁρπασθεισέων ἀσπουδὴν ποιήσασθαι τιμωρέειν, ἀνοήτων· τὸ δὲ μηδεμίην ὥρην ἔχειν ἁρπασθεισέων, σωφρόνων· δῆλα γὰρ δὴ ὅτι εἰ μὴ αὐταὶ ἐβούλεατο, οὐκ ἂν ἡρπάζοντο. Σφέας μὲν δὴ τοὺς ἐκ τῆς Ἀσίης λέγουσι Πέρσαι ἁρπαζομενέων τῶν γυναικῶν λόγον ὀδένα ποιήσασθαι, Ἑλλάνων δὲ Λακεδαιμονίης εἵνεκεν γυναικὸς στόλον μέγαν συναγεῖραι, καὶ ἔπειτα ἐλθόντας ἐς τὴν Ἀσίην,
A. C. 1184. τὴν Πριάμου δύναμιν καταλεῖν· ἀπὸ τούτου αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν σφίσι εἶναι πολέμιον. [i] Τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα [j] οἰκειεῦνται οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἤγηνται κεχωρίσθαι. Οὕτω μὲν Πέρσαι λέγουσι γενέσθαι, καὶ διὰ τὴν Ἰλίου 5
ἅλωσιν εὑρίσκουσι σφίσιν ἐοῦσαν τὴν ἀρχὴν τῆς ἔχθρης τῆς ἐς τοὺς Ἕλληνας. Περὶ δὲ τῆς Ἰοῦς οὐκ ὁμολογέουσι Πέρσῃσι ὧδε Φοίνικες· οὐ γὰρ ἁρπαγῇ σφέας χρησαμένους λέγουσι ἀγαγεῖν αὐτὴν ἐς Αἴγυπτον, ἀλλ' ὡς ἐν τῷ Ἄργει ἐμίσγετο τῷ ναυκλήρῳ τῆς νηός· ἐπεὶ δὲ ἔμαθεν ἔγκυος ἐοῦσα, αἰδεομένη τοὺς τοκέας, ὧδε δὴ ἑθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι συνεκπλῶσαι, ὡς ἂν μὴ κατάδηλος γένηται. Ταῦτα μέν νυν Πέρσαι τε καὶ Φοίνικες λέγουσι· ἐγὼ δὲ περὶ μὲν τούτων οὐκ ἔρχομαι ἐρέων ὡς οὕτως ἢ ἄλλως κως ταῦτα ἐγένετο· τὸν δὲ οἶδα αὐτὸς πρῶτον [k] ὑπάρξαντα ἀδίκων ἔργων ἐς τοὺς Ἕλληνας, τοῦτον ση-

[i] ix. 116. τὴν Ἀσίην πᾶσαν νομίζουσιν ἑωυτῶν Πέρσαι εἶναι.

[j] Vid. 94. huj. et iii. 2.

[k] Hom. Od. Ω'. 285.—ὁ γὰρ θέ-

μήνας, προβήσομαι ἐς τὸ πρόσω τοῦ λόγου, ὁμοίως μικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώπων ἐπεξιών· τὰ γὰρ τοπάλαι μεγάλα ἦν, τὰ πολλὰ αὐτῶν σμικρὰ γέγονε· τὰ δὲ ἐπ' ἐμεῦ ἦν μεγάλα, πρότερον ἦν σμικρά· τὴν ἀνθρωπηΐην ὦν ἐπιστάμενος εὐδαιμονίην οὐδαμᾶ ἐν τὠϋτῷ μένουσαν, ἐπιμνήσομαι ἀμφοτέρων ὁμοίως.

6 II. [1] Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω· τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσαμβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων, ἐξίει πρὸς βορῆν ἄνεμον ἐς τὸν Εὔξεινον καλεόμενον πόντον· οὗτος ὁ Κροῖσος, βαρβάρων πρῶτος τῶν ἡμεῖς ἴδμεν, τοὺς μὲν κατεστρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγὴν, τοὺς δὲ φίλους προσεποιήσατο· κατεστρέψατο μὲν Ἴωνάς τε καὶ Αἰολέας, καὶ Δωριέας τοὺς ἐν τῇ Ἀσίῃ· φίλους δὲ προσεποιήσατο Λακεδαιμονίους· πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες ἦσαν ἐλεύθεροι· τὸ γὰρ Κιμμερίων [m] στράτευμα τὸ ἐπὶ τὴν Ἰωνίην ἀπικόμενον, Κροίσου ἐὸν πρεσβύτερον, οὐ καταστροφὴ ἐγένετο τῶν πολίων,
7 ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή. Ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθεν, ἐοῦσα Ἡρακλειδέων, ἐς τὸ γένος τὸ Κροίσου, καλεομένους δὲ Μερμνάδας. Ἦν Κανδαύλης, τὸν οἱ Ἕλληνες Μυρσῖλον ὀνομάζουσι, τύραννος Σαρδίων, ἀπόγονος δὲ Ἀλκαίου τοῦ Ἡρακλέος· Ἄγρων μὲν γὰρ ὁ Νίνου, τοῦ Βήλου, τοῦ Ἀλκαίου, πρῶτος Ἡρακλειδέων βασιλεὺς ἐγένετο Σαρδίων· Κανδαύλης δὲ ὁ Μύρσου, ὕστατος· οἱ

Candaules. Ol. XI. 2. A. C. 735.

μις, ὅστις ὑπάρξῃ. Hesych. ὑπάρξῃ, προκατάρξῃ, quæ vocis significatio scriptoribus etiam Atticis familiaris. Exempla abunde sufficient Indices ad Oratores Græcos.

[1] Clausulam hanc usque ad πόντον laudat Dionys. Hal. περὶ συνθέσεως ὀνομάτων cap. 4. ob exquisitum structuræ artificium. vid. 8. huj.

[m] Confer 15. huj. et iv. 12.

Veteres Reges Lydiæ a Lydo Atyis filio oriundi, quibus succesſerunt Heraclidæ.

δὲ πρότερον Ἀγρωνος βασιλεύσαντες ταύτης τῆς χώρης, ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος· ἀπό τευ ὁ δῆμος Λύδιος ἐκλήθη ὁ πᾶς ἔτος, πρότερον [n] Μήων καλεόμενος· ὑπὸ τούτων δὲ Ἡρακλεῖδαι ἐπιτραφθέντες, ἔσχον τὴν ἀρχὴν ἐκ θεοπροπίου, ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγονότες καὶ Ἡρακλέος, ἄρξαντες μὲν ἐπὶ δύο τε καὶ εἴκοσι γενεὰς ἀνδρῶν, ἔτεα πέντε τε καὶ πεντακόσια, παῖς παρὰ πατρὸς ἐκδεκόμενος τὴν ἀρχὴν, μέχρι Κανδαύλεω τοῦ

Pudor conjugialis a Candaule læſus.

Μύρσου. Οὗτος δὴ ὦν ὁ Κανδαύλης ἠράσθη τῆς ἑωυτοῦ 8
γυναικὸς, ἐραθεὶς δὲ, ἐνόμιζε οἱ εἶναι γυναῖκα πολλὸν πασέων καλλίστην· ὡς τε δὲ ταῦτα νομίζων, (ἦν γάρ οἱ τῶν αἰχμοφόρων Γύγης ὁ Δασκύλου ἀρεσκόμενος μάλιστα· τούτῳ τῷ Γύγῃ καὶ τὰ [o] σπουδαιέστερα τῶν πρηγμάτων [p] ὑπερετίθετο ὁ Κανδαύλης, καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαινέων·) χρόνου δὲ οὐ πολλοῦ

[n] Μήονας—ὑπὸ Τμώλῳ γεγαῶτας. Hom. Il. Β'. 866. de Heraclidis autem hiſce cf. Diod. iv. 32. et Hellanicum ap. Steph. Byz. v. Ἀκέλη.

[o] Ita apud Homerum ἀνιηρέστερον pro ἀνιηρότερον, Od. Β'. 190. ad quem locum monet Euſtathius formam iſtam τοῖς παλαίοις familiarem fuiſſe: Ἐπίχαρμος, inquit, καὶ ἀλλοιέστερον λέγει, καὶ ἐπιηρέστερον, καὶ ἀναγκαιέστατον, καὶ ὡραιέστατον· Στησίχορος δὲ, ὑπερθυμέστατον ἀνδρῶν· Ἑκαταῖος δὲ, οἱ Βιαντίδαι ἄνδρες σπουδαιέσταλοι ἐγένοντο· καὶ Ἡρόδοτος, τὰ σπουδαιέστερα τῶν πρηγμάτων. Δημόκριτος δὲ ἐπιτηδειέστατον φησὶ, καὶ Δεινόλοχος, γενναιέσταλον· Ἀντίμαχος δὲ, ὅτι ἀφνειέστατος ἔσκεν· Εὔπολις δὲ, πόλιν οἰκοῦσιν ἀφθονεστάτην χρήμασι· Πίνδαρος, ἀπονέστερον. Σέλευκος δὲ παρ' Ὁμήρῳ φησὶ τὴν Ἀριστοφάνειον γραφὴν ἔχειν, Ἀτρείδη κύδιστε, φιλοκτεανέστατε πάντων· (Il. Α'. 122.) Mox paucis interjectis, ὥσπερ δὲ διὰ τὸ ες σχηματίζεσιν Ἀτθικοὶ, ὕτω καὶ διὰ τὸ ις Ἀριστοφάνης, ὦ θερμόταλαι γυναῖκες, ὦ ποτίσταλαι· (Θεσμ. 742.) ὕτω καὶ λαγνίστερον, καὶ λαλίστερον· (Βατρ. 91.) ὕτω καὶ λαλίσταλον, καὶ πολὺ πλωχίστερος· (Ἀχαρν. 424.) εἰσὶ δὲ σχηματισμοὶ καὶ διὰ τοῦ αι. Πλάτων ἐν πρώτῳ πολιτείας, ἀσμεναίτατα λέγει καὶ ἰσαίτερον, καὶ ἐν Χαρμίδῃ ἡσυχαίτατα, ἔστι δὲ καὶ πλησιαίτερον· Ξενοφῶν δὲ φιλαίτατον φησί.

[p] Vid. 108. huj.

διελθόντος, [q] χρῆν γὰρ Κανδαύλῃ γενέσθαι κακῶς, ἔλεγε πρὸς τὸν Γύγην τοιάδε· " [r] Γύγη, οὐ γάρ σε " δοκέω πείθεσθαί μοι λέγοντι περὶ τῆς εἰδέος τῆς " γυναικός· (ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπι- " στότερα ὀφθαλμῶν) ποίεε ὅκως ἐκείνῳ θεήσεαι γυμ- " νήν. Ὁ δὲ μέγα ἀμβώσας, εἶπε, Δέσποτα, τίνα λέ- " γεις λόγον οὐκ ὑγιέα, κελεύων με δέσποιναν τ' ἐμὴν " θεήσασθαι γυμνήν; ἅμα δὲ κιθῶνι ἐκδυομένῳ συνεκ- " δύεται καὶ τὴν αἰδὼ γυνή· πάλαι δὲ τὰ καλὰ ἀνθρώ- " ποισι ἐξεύρηται, ἐκ τῶν μανθάνειν δεῖ, ἐν τοῖσιν ἓν " τόδε ἐστὶ, σκοπέειν τινὰ τὰ ἑωυτοῦ· ἐγὼ δὲ πείθομαι " ἐκείνην εἶναι παντέων γυναικῶν καλλίστην, καὶ σέο δέο- 9 " μαι μὴ δέεσθαι ἀνόμων." Ὁ μὲν δὴ, λέγων τοιαῦτα, ἀπεμάχετο, ἀρρωδέων μή τι οἱ ἐξ αὐτέων γένηται κα- κόν· ὁ δὲ ἀμείβετο τοῖσδε, " Θάρσει Γύγη· καὶ μὴ φο- " βεῦ μήτε ἐμὲ, ὡς σέο πειρώμενος λέγω λόγον τόνδε, " μήτε γυναῖκα τὴν ἐμὴν, μή τι τοι ἐξ αὐτῆς γένηται " βλάβος· ἀρχὴν γὰρ ἐγὼ μηχανήσομαι οὕτω, ὥστε μηδὲ " μαθεῖν μιν ὀφθεῖσαν ὑπὸ σεῦ· ἐγὼ γάρ σε ἐς τὸ οἴ- " κημα, ἐν τῷ κοιμώμεθα, ὄπισθε τ' ἀνοιγομένης θύρης " στήσω· μετὰ δ' ἐμὲ ἐσελθόντα, παρέσται καὶ ἡ γυνὴ ἡ " ἐμὴ ἐς κοῖτον· κεῖται δὲ ἀγχοῦ τῆς ἐσόδου θρόνος· ἐπὶ " τοῦτον τ' ἱματίων κατὰ ἓν ἕκαστον ἐκδύνουσα θήσει, καὶ " κατ' ἡσυχίην πολλὴν παρέξει τοι θεήσασθαι· ἐπεὰν δὲ " ἀπὸ τοῦ θρόνου στείχῃ ἐπὶ τὴν δύνην, κατὰ νώτου τε αὐτῆς

[q] Cf. iv. 79. v. 92, 4.

[r] Hæc et ſequentia uſque ad ἦν ἕτοιμος (Ionica Dialecto in Atticam mutata) citat Dionyſ. Hal. περὶ συνθέσεως ὀνομάτων, c. 3. tanquam quæ exemplo ſint, ὥστε περὶ μικρὰ καὶ φαῦλα πράγματά τι καὶ ὀνόματα συνταχθέντα καλῶς, μεγάλας γίνεσθαι τὰς χάριτας. Et εἴρηται, inquit, σφόδρα δικαίως.

" χρὴ, σοὶ μελέτω τὸ ἐνθεῦτεν ὅκως μή σε ὄψεται ἰόντα
" διὰ θυρέων." Ὁ μὲν δὴ, ὡς οὐκ ἠδύνατο διαφυ- 10
γέειν, ἦν ἕτοιμος. Ὁ δὲ Κανδαύλης, ἐπεὶ ἐδόκεε ὥρη τε
κοίτης εἶναι, ἤγαγε τὸν Γύγεα ἐς τὸ οἴκημα· καὶ μετὰ ταῦτα
αὐτίκα παρῆν καὶ ἡ γυνή· ἐσελθοῦσαν δὲ καὶ τιθεῖσαν
τὰ εἵματα ἐθηεῖτο ὁ Γύγης· ὡς δὲ κατὰ νώτου ἐγένετο,
ἰθύσης τῆς γυναικὸς ἐς τὴν κοίτην, ὑπεκδὺς ἐχώρεεν ἔξω·
καὶ ἡ γυνὴ ἐπορᾷ μιν ἐξιόντα· μαθοῦσα δὲ τὸ ποιηθὲν
[s] ἐκ τοῦ ἀνδρὸς, ὅτε ἀνέβωσεν αἰσχυνθεῖσα, [t] ὅτε ἔδοξε
μαθέειν, ἐν νόῳ ἔχουσα τίσεσθαι τὸν Κανδαύλεα· παρὰ
γὰρ τοῖσι Λυδοῖσι, σχεδὸν δὲ καὶ παρὰ [u] τοῖσι ἄλλοισι
βαρβάροισι, καὶ ἄνδρα ὀφθῆναι γυμνὸν ἐς αἰσχύνην με-
γάλην φέρει. Τότε μὲν δὴ ἥτως, σιγὴν δηλώσασα, ἡσυ- 11
χίην εἶχεν· ὡς δὲ ἡμέρη τάχιστα ἐγεγόνεε, τῶν οἰκετέων τοὺς
μάλιστα ὥρα πιστοὺς ἐόντας ἑωυτῇ ἑτοίμους ποιησαμένη,
ἐκάλεε τὸν Γύγεα· ὁ δὲ, σιγὴν δοκέων αὐτὴν τῶν πρηχ- 12
θέντων ἐπίστασθαι, ἦλθε καλεόμενος· ἐώθεε γὰρ καὶ
πρόσθεν, ὅκως ἡ βασίλεια καλέοι, φοιτᾶν· ὡς δὲ ὁ
Γύγης ἀπίκετο, ἔλεγε ἡ γυνὴ τάδε, " Νῦν τοι δυοῖν ὁδοῖν
" παρεουσέων, Γύγη, δίδωμι αἵρεσιν, ὁκοτέρην βέλεαι
" τραπέσθαι· ἢ γὰρ Κανδαύλεα ἀποκτείνας, ἐμέ τε καὶ
" τὴν βασιληίην ἔχε τὴν Λυδῶν, ἢ αὐτόν σε αὐτίκα ἥτω
" ἀποθνήσκειν δεῖ· ὡς ἂν μὴ, πάντα πειθόμενος 13

[s] Ita supra, τὰ γενόμενα ἐξ ἀνθρώπων, *quæ facta sunt ab hominibus*. Cf. ii. 121, 5.

[t] *Animadvertisse se dissimulavit*, Sic Xenophon Hellen, iv. 5 Ἀγησίλαος μάλα μεγαλοφρόνως τότε μὲν ὀδ' ὁρᾶν ἐδόκει· et Eurip. Hipp. 462. Πόσους δοκεῖς δῆτ' καρτ' ἔχοντας εὖ φρενῶν, Νοσοῦντ' ὀρῶντας λέκτρα, μὴ δοκεῖν ὁρᾶν; ad quem versum plura Valkenaerius.

[u] Plato De Rep. v. 452. *haud multum*, inquit, *temporis præteriit*, ἐξ οὗ τοῖς Ἕλλησιν ἐδόκει αἰσχρὰ καὶ γελοῖα, ἅπερ νῦν τοῖς πολλοῖς τῶν βαρβάρων, γυμνὰς ἄνδρας ὁρᾶσθαι. cf. Thucyd. i. 6.

" Κανδαύλη, τῦ λοιπῦ ἴδῃς τὰ μή σε δεῖ· ἀλλ' ἤτοι
" κεῖνόν γε τὸν ταῦτα βυλεύσαντα δεῖ ἀπόλλυθζ, ἤ
" σε τὸν ἐμὲ γυμνὴν θηησόμθον, κ) ποιήσαντα οὐ νο-
" μιζόμθα." Ὁ δὲ Γύγης τέως μὲν ἀπεθωύμαζε τὰ
λεγόμθα· μ) δὲ, ἱκέτευε μή μιν ἀναγκαίῃ ἐνδεῖν μά-
χεῖναι τοιαύτην αἵρεσιν· ἔχων δὴ ἔπειθεν, ἀλλ' ὥρα
ἀναγκαίην ἀληθέως προκειμένην, ἢ τ δεσπότεα ἀπολ-
λῦναι, ἢ αὐτὸν ὑπ' ἄλλων ἀπόλλυθζ, αἱρέεται αὐτὸς
περιεῖναι· ἐπειρώτα δὴ λέγων τάδε, " Ἐπεί με ἀναγ-
" κάζεις δεσπότεα τὸν ἐμὸν κλεινέν, οὐκ ἐθέλονθα, φέρε
" ἀκέσω τέῳ κὴ τρόπῳ ἐπιχειρήσομθ αὐτῷ." ἡ δὲ
ὑπολαβῦσα ἔφη, " Ἐκ τῦ αὐτῦ μὲν χωρίυ ἡ ὁρμὴ
" ἔσαι, ὅθενπερ κὴ ἐκεῖνος ἐμὲ ἐπεδέξατο γυμνήν·
12 " ὑπνωμένῳ δὲ ἡ ἐπιχείρησις ἔσαι." Ὡς δὲ ἤρτυσαν τ
ἐπιβυλὴν, νυκτὸς γινομένης, (οὐ γὰρ μετίετο ὁ Γύγης,
οὐδέ οἱ ἦν ἀπαλλαγὴ ὀδεμίη, ἀλλὰ ἕδει ἢ αὐτὸν ἀπο-
λωλέναι, ἢ Κανδαύλεα) εἵπετο ἐς τὸν θάλαμον τῇ
γυναικί· καί μιν ἐκείνη, ἐγχειρίδιον δοῦσα, κατα-
κρύπτει ὑπὸ τὴν αὐτὴν θύρην· κὴ μ) ταῦτα, ἀνα-
παυομένῳ Κανδαύλεω, ὑπεισδύς τε κ) ἀποκτείνας αὐτὸν, Gyges Can-
ἔσχε κ) τὴν γυναῖκα κὴ τὴν βασιληΐην Γύγης· τῦ καὶ daulis fuc-
Ἀρχίλοχος ὁ Πάριος, κατὰ τὸν αὐτὸν χρόνον γνόμθος, ceſſor.
13 ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη. Ἔσχε δὲ τὴν βασιληΐην,
κὴ ἐκρατύνθη ἐκ τῦ ἐν Δελφοῖσι χρηστηρίυ· ὡς γὰρ δὴ
οἱ Λυδοὶ δεινὸν ἐποιεῦντο τὸ Κανδαύλεω πάθος, κὴ ἐν
ὅπλοισι ἦσαν, συνέβησαν ἐς τὠὐτὸ οἵ τε τῦ Γύγεω σα-
σῶ) κ) οἱ λοιποὶ Λυδοὶ, ἢν μὲν δὴ τὸ χρηστήριον ἀνέλῃ
μιν βασιλέα εἶναι Λυδῶν, τόνδε βασιλεύειν· ἢν δὲ μὴ,
ἀποδοῦναι ὀπίσω ἐς Ἡρακλείδας τὴν ἀρχήν· ἀνείλέ τε

Ol. XV. 3. A. C. 718. δὴ τὸ χρηστήριον, καὶ ἐβασίλευσεν ἔτω Γύγης[x]· τοσόνδε μέντοι εἶπεν ἡ Πυθίη, ὡς Ἡρακλείδῃσι τίσις ἥξει ἐς τὸ πέμπτον ἀπόγονον Γύγεω[y]· τοῦτο τὸ ἔπεος Λυδοί τε καὶ οἱ βασιλέες αὐτῶν λόγον οὐδένα ἐποιεῦντο, πρὶν δὴ ἐπετελέθη.

III. Τὴν μὲν δὴ τυραννίδα οὕτως ἔσχον οἱ Μερ- 14
μνάδαι, τοὺς Ἡρακλείδας ἀπελόμενοι. Γύγης δὲ τυ- 15
Donaria ejus Delphis. ραννεύσας ἀπέπεμψεν ἀναθήματα ἐς Δελφοὺς οὐκ ὀλίγα· ἀλλ' ὅσα μὲν ἀργύρου ἀναθήματά ἐστιν οἱ πλεῖστα ἐν Δελφοῖσι· πάρεξ δὲ τοῦ ἀργύρου, χρυσὸν ἄπλετον ἀνέθηκεν, ἄλλον τε, καὶ τὸ μάλιστα μνήμην 16
ἄξιον ἔχειν ἐστὶ, κρητῆρές οἱ ἀριθμὸν ἓξ χρύσεοι ἀνακέαται· ἑστᾶσι δὲ ἔτοι ἐν τῷ Κορινθίων[z] θησαυρῷ, σταθμὸν ἔχοντες τριήκοντα τάλαντα· ἀληθέϊ δὲ λόγῳ χρεωμένῳ, οὐ Κορινθίων τὸ δημόσιόν ἐστιν ὁ θησαυρὸς, ἀλλὰ [a]Κυψέλου τοῦ Ἠετίωνος· οὗτος δὲ ὁ Γύγης, πρῶτος βαρβάρων τῶν ἡμεῖς ἴδμεν, ἐς Δελφοὺς ἀνέθηκεν ἀναθήματα, μετὰ Μίδην τὸν Γορδίεω, Φρυγίης βασιλῆα· ἀνέθηκε γὰρ δὴ καὶ Μίδης τὸν βασιλήϊον θρόνον, ἐς τὸν [b]προκατίζων ἐδίκαζεν, ἐόντα ἀξιοθέητον· 17
κεῖται δὲ ὁ θρόνος οὗτος ἐνθάπερ οἱ τοῦ Γύγεω κρητῆρες· ὁ δὲ χρυσὸς οὗτος καὶ ὁ ἄργυρος, τὸν ὁ Γύγης ἀνέθηκεν, ὑπὸ Δελφῶν καλέεται Γυγάδας ἐπὶ τοῦ ἀναθέντος ἐπωνυμίην. Ἐσέβαλε μέν νυν στρατιὴν καὶ ἔτος, ἐπεί τε

[x] Alia est Gygis historia apud Plat. de Repub. l. ii. alia apud Plutarch. Quæst. Græc. cf. Xenoph. Κ. Π. vii. 7.

[y] Vid. 91. huj.

[z] Erant enim in templo Delphico θησαυροὶ ὃς καὶ δῆμοι καὶ δυνάσται κατεσκεύασαν, εἰς οὓς καὶ χρήματα ἀνετίθεντο καθιερωμένα. Strab. ix. 419.

[a] Cf. Plut. de Pythiæ Orac. p. 400.

[b] Vid. 97. huj. et v. 26.

ἦρξεν, ἔς τε Μίλητον καὶ ἐς Σμύρνην[c], καὶ Κολοφῶνος τὸ ἄςυ εἷλεν· ἀλλ', οὐδὲν γὰρ μέγα ἔργον ἀπ' αὐτοῦ ἄλλο ἐγένετο, βασιλεύσαντος δυῶν δέοντα τεσσεράκοντα ἔτεα, τοῦτον μὲν παρήσομεν, τοσαῦτα ἐπιμνησθέντες.

15 Ἄρδυος δὲ τὸν Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι· οὗτος δὲ Πριηνέας τε εἷλεν, ἐς Μιλήτου τε ἐσέβαλεν. Ἐπὶ τούτου τε τυραννεύοντος Σαρδίων, Κιμμέριοι [d] ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν Νομάδων ἐξαναστάντες ἀπίκέατο ἐς τὴν Ἀσίην, καὶ Σάρδις πλὴν τῆς

16 ἀκροπόλιος εἷλον. Ἄρδυος δὲ βασιλεύσαντος ἐνὸς δέοντα πεντήκοντα ἔτεα, ἐξεδέξατο Σαδυάτης ὁ Ἄρδυος, καὶ ἐβασίλευσεν ἔτεα δυώδεκα· Σαδυάτεω δὲ, Ἀλυάττης· οὗτος δὲ Κυαξάρῃ τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε, καὶ Μήδοισι, Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε, [e] Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν εἷλεν, ἐς Κλαζομενάς τε ἐσέβαλεν· ἀπὸ μέν νυν τούτων [f] οὐκ ὡς ἤθελεν ἀπήλλαξεν, ἀλλὰ προσπλαίσας μεγάλως. Ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξι-

17 απηγητότατα τάδε· ἐπολέμησε Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον παρὰ τοῦ πατρός· ἐπελαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε· ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἀδρὸς, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν·

Ol. XXV 1. A. C. 680. Ardys.

Cimmeriorum invasio.

Olymp. XXXVII. 2. A. C. 631. Sadyattes. Alyattes.

Ol. XL. 2. A. C. 619.

[c] Scripsit, teste Pausania, ix. 29. Mimnermus Colophonius εἰλεγεῖα ἐς τὴν μάχην τὴν Σμυρναίων πρὸς Γύγην τε καὶ Λυδούς.

[d] Sic infr. 157. Ἐς ἤθεα τὰ Περσέων· —μετά τ' ἤθεα καὶ νομὸν ἵππων. Hom. Il. Z'. 511. —κατὰ ἤθεα κοιμηθῆναι. Hom. Odyss. Ξ'. 411. Λέξις Ἰωνίκη apud Grammaticos: at Eurip. Helen. 282. Ἔπειτα πατρίδος θιοὶ μ' ἀφιδρύσαντο γῆς Εἰς βάρβαρ' ἤθη.

[e] Vid. 150. huj.

[f] Cf. Euripid. Androm. 1173.

ἐστρατεύετο δὲ [g]ὑπὸ συρίγγων τε καὶ πηκτίδων, καὶ αὐλῶν [h]γυναικηίων τε καὶ ἀνδρηίων· ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν ὅτε κατέβαλλεν, οὔτε ἐνεπίμπρη, οὔτε θύρας ἀπέσπα, ἔα δὲ κατὰ χώρην ἑστάναι· ὁ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως διαφθείρειεν, ἀπαλλάσσετο ὀπίσω· τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεκράτεον, ὥστε ἐπέδρης μὴ εἶναι ἔργον τῇ στρατιῇ· τοὺς δὲ οἰκίας οὐ κατέβαλλεν ὁ Λυδὸς, τῶνδε εἵνεκα, ὅκως ἔχοιεν ἐνθεῦτεν ὁρμεώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι οἱ Μιλήσιοι, αὐτὸς δὲ, ἐκείνων ἐργαζομένων, ἔχοι τι καὶ σίνεσθαι ἐσβάλλων. Ταῦτα 18
ποιέων, ἐπολέμεε ἔτεα ἕνδεκα· ἐν τοῖσι τρώματα με- 20
γάλα διφάσια Μιλησίων ἐγένετο, ἔν τε Λιμενηίῳ χώρης τῆς σφετέρης μαχεσαμένων, καὶ ἐν Μαιάνδρου πεδίῳ· τὰ μέν νυν ἓξ ἔτεα τῶν ἕνδεκα Σαδυάττης ὁ Ἀρδυος ἔτι Λυδῶν ἦρχε, ὁ δὲ ἐσβαλὼν τηνικαῦτα ἐς τὴν Μιλησίην τὸ στρατιήν· (Σαδυάττης γὰρ ἔτος καὶ ὁ τὸν πόλεμον ἦν συνάψας) τὰ δὲ πέντε τῶν ἐτέων τὰ ἐπόμενα τοῖσιν ἓξ Ἀλυάττης ὁ Σαδυάττεω ἐπολέμεε, ὃς παραδεξάμενος (ὡς καὶ πρότερόν μοι δεδήλωται) παρὰ τοῦ πατρὸς τὸν 21
πόλεμον, προσεῖχε ἐντεταμμένως· τοῖσι δὲ Μιλησίοισι ἐδαμοὶ Ἰώνων τὸν πόλεμον τοῦτον συνεπελάφρυνον, ὅτι μὴ Χῖοι μοῦνοι· ἔστι δὲ τὸ ὅμοιον ἀνταποδιδόντες ἐτιμώρεον· καὶ γὰρ δὴ πρότερον οἱ Μιλήσιοι τοῖσι Χίοισι τὸν

Ratio belli gesti contra Milesios.

[g] Ὑπ' αὐλῶ, μετ' αὐλῶ. Hesych. ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς. Pind. Ol. iv. 3. cf. Ol. vii. 23. ὑπ' εὐφήμῳ βοῆς. Soph. Electr. 633.

[h] *Halyattes — cum bellum Milesiis faceret — concinentes fistulatores et fidicines, atque feminas etiam tibicinas in exercitu atque in procinctu habuit.* A. Gellius i. 11.

19 πρὸς Ἐρυθραίους πόλεμον συνδιήνεικαν. Τῷ δὲ δυωδεκάτῳ ἔτει ληΐδι ἐμπεφαμένῃ ὑπὸ τῆς στρατιῆς, συνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα· ὡς ἄφθη πέσσειν τὸ λήϊον ἀνέμῳ βιώμενον, ἅψατο νηὸς Ἀθηναίης, ἐπίκλησιν [i] Ἀσησίης· ἀφθεὶς δὲ ὁ νηὸς κατεκαύθη· καὶ τοπαραυτίκα μὲν λόγος ὠδεὶς ἐγίνετο, μετὰ δὲ, τῆς στρατιῆς ἀπικομένης ἐς Σάρδις, ἐνόσησεν ὁ Ἀλυάττης· μακροτέρης δὲ οἱ γινομένης τῆς νόσου, πέμπει ἐς Δελφοὺς θεοπρόπους, εἴτε δὴ συμβουλώσαντός τευ, εἴτε καὶ αὐτῷ ἔδοξε πέμψαντα [k] τὸν θεὸν ἐπείρεσθαι περὶ τῆς νόσου· τοῖσι δὲ ἡ Πυθίη ἀπικομένοισι ἐς Δελφοὺς οὐκ ἔφη χρήσειν, πρὶν ἢ τὸν νηὸν τῆς Ἀθηναίης ἀνορθώσωσι, 20 τὸν ἐνέπρησαν χώρης τῆς Μιλησίης ἐν Ἀσησῷ. Δελφῶν οἶδα ἐγὼ ἄτω ἀκούσας γενέσθαι· Μιλήσιοι δὲ τάδε προσιθεῖσι τούτοισι, Περίανδρον τὸν Κυψέλου, ἐόντα Θρασυβούλῳ τῷ τότε Μιλήτου τυραννεύοντι ξεῖνον ἐς τὰ μάλιστα, πυθόμενον τὸ χρηστήριον τὸ τῷ Ἀλυάττῃ γενόμενον, πέμψαντα ἄγγελον κατειπεῖν, ὅκως ἄν τι προειδὼς πρὸς τὸ παρεὸν βουλεύηται· Μιλήσιοι μέν νυν 21 ἄτω λέγουσι γενέσθαι. Ἀλυάττης δὲ, ὡς οἱ ταῦτα ἐξηγγέλθη, αὐτίκα ἔπεμπε κήρυκα ἐς Μίλητον, βουλόμενος σπονδὰς ποιήσασθαι Θρασυβούλῳ τε καὶ Μιλησίοισι χρόνον ὅσον ἂν τὸν νηὸν οἰκοδομῇ· ὁ μὲν δὴ ἀπέστελλε ἐς τὴν Μίλητον ἦν· Θρασύβουλος δὲ σαφέως πεπυσμένος πάντα λόγον, καὶ εἰδὼς τὰ Ἀλυάττης μέλλοι ποιήσειν, μη-

Templum Minervæ incensum.

Periander Thrasybuli amicus.

[i] Ἀσησὸς, πόλις Μιλησίας γῆς. Steph. Byzant.

[k] Ita sæpe Herodotus—accusativo sc. pro dativo usus. 3. huj. τοῖσιν Ἕλλησι δόξαι, πρῶτον πέμψαντας ἀγγέλους. et v. 109. ὥρη ἂν εἴη ὑμῖν, ἐκβάντας ἐκ τῶν νεῶν τάσσεσθαι πεζῇ. Similiter Act. Apost. xv. 22. ἔδοξε τοῖς ἀποστόλοις — ἐκλεξαμένους ἄνδρας — πέμψαι.

χανᾶται τοιάδε· ὅσος ἦν ἐν τῷ ἄσει σῖτος ἢ ἐωϋτοῦ ἢ ἰδιωϊκὸς, τοῦτον πάντα συγκομίσας ἐς τὴν ἀγορὴν, προ-
24 ἐῖπε Μιλησίοισι, ἐπεὰν αὐτὸς σημήνῃ, τότε οἰνεύειν τε πάντας καὶ κώμῳ χρέεσθαι ἐς ἀλλήλους. Ταῦτα δὲ 22
ἐποίεέ τε ὁ προηγόρδε Θρασύβυλος, τῶνδε εἵνεκεν, ὅκως ἂν δὴ ὁ κήρυξ ὁ Σαρδιηνὸς, ἰδών τε σωρὸν μέγαν σίτου κεχυμένον, ἢ τοὺς ἀνθρώπους ἐν δυπαθείῃσι ἐόντας, ἀγγείλῃ Ἀλυάττῃ· τὰ δὴ καὶ ἐγένετο· ὡς γὰρ δὴ ἰδών τε ἐκεῖνα ὁ κήρυξ, ὁ εἶπας πρὸς Θρασύβυλον τὰς ἐντολὰς τοῦ Λυδοῦ, ἀπῆλθεν ἐς τὰς Σάρδις, ὡς ἐγὼ πυνθάνομαι, δι' ὀδὸν ἄλλο ἐγένετο ἡ διαλλαγή· ἐλπίζων γὰρ ὁ Ἀλυάττης σιτοδείην τε εἶναι ἰσχυρὴν ἐν τῇ Μιλήτῳ, ὁ τὸν λεὼν τετρύαδαι ἐς τὸ ἔσχατον κακοῦ, ἤκουε τοῦ κήρυκος νοσήσαντος ἐκ τῆς Μιλήτου τοὺς ἐναντίους λόγους ἢ ὡς αὐτὸς κατεδόκεε· μετὰ δὲ, ἥ τε διαλλαγή σφι ἐγένετο, ἐπ' ᾧ τε ξείνους ἀλλήλοισι εἶναι καὶ ξυμμάχους· καὶ δύο τε ἀντὶ ἑνὸς νηοὺς τῇ Ἀθηναίῃ ᾠκοδόμησεν ὁ Ἀλυάττης ἐν τῇ Ἀσσησῷ, αὐτός τε ἐκ τῆς νόσου ἀνέσχε· καὶ τὰ μὲν κατὰ τὸν πρὸς Μιλησίους τε καὶ Θρασύβυλον πόλεμον Ἀλυάττῃ ὧδε ἔσχε.

Pax inter Lydios et Milesios. Ol. XLI. 3. A. C. 614.

IV. Περίανδρος δὲ ἦν Κυψέλου παῖς, οὗτος ὁ τῷ 23
Θρασυβούλῳ τὸ χρηστήριον μηνύσας· ἐτυράννευε δὲ ὁ Περίανδρος Κορίνθου, τῷ δὴ λέγουσι Κορίνθιοι (ὁμολογέουσι δὲ σφι Λέσβιοι) ἐν τῷ βίῳ θῶυμα μέγιστον παρασχεῖν· Ἀρίονα τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον, καὶ διθύραμβον[1], πρῶτον

[1] Ὁ δὲ διθύραμβος, γράφεται μὲν εἰς Διόνυσον, προσαγορεύεται δὲ ἐξ αὐτοῦ, ἤ τοι διὰ τὸ κατὰ τὴν Νύσσαν ἐπ' ἄντρῳ διθυράμβῳ τραφῆναι τὸν Διόνυσον· ἢ διὰ τὸ, λυθέντων τῶν ῥαμμάτων τοῦ Διὸς, εὑρεθῆναι αὐτόν· ἢ διότι δὶς δοκεῖ γενέσθαι· ἅπαξ ἐκ τῆς Σεμέλης, καὶ

ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν, ποιήσαντά τε καὶ ὀνομά-
24 σαντα καὶ διδάξαντα ἐν Κορίνθῳ, τούτον τὸν Ἀριόνα
λέγουσι, τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Πε-
ριάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικε-
λίην· ἐργασάμενον δὲ χρήματα μεγάλα, θελῆσαι ὀπί-
σω ἐς Κόρινθον ἀπικέσθαι· ὁρμᾶσθαι μέν νυν ἐκ Τά-
ραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι,
μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων· τοὺς δὲ ἐν τῷ
πελάγει ἐπιβουλεύειν, τὸν Ἀρίονα ἐκβαλόντας, ἔχειν
τὰ χρήματα· τὸν δὲ, συνέντα τοῦτο, λίσσεσθαι, χρήματα
μὲν προϊέντα σφι, ψυχὴν δὲ παραιτεόμενον· οὔκων δὴ
πείθειν αὐτὸν τούτοισι, ἀλλὰ κελεύειν τοὺς πορθμέας ἢ
αὐτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ
ἐκπηδᾷν ἐς τὴν θάλασσαν τὴν ταχίστην· ἀπειληθέντα
δὲ τὸν Ἀρίονα ἐς ἀπορίην, παραιτήσασθαι, ἐπειδή σφι
οὕτω δοκέοι, περιιδέειν αὐτὸν ἐν τῇ σκευῇ πάσῃ στάντα
ἐν τοῖσι ἑδωλίοισι, ἀεῖσαι· ἀείσας δὲ, ὑπεδέκετο ἑωϋτὸν
κατεργάσασθαι· καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν, εἰ μέλ-
λοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχω-
ρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα· τὸν δὲ, ἐνδύντα τε
πᾶσαν τὴν σκευὴν, καὶ λαβόντα τὴν κιθάρην, στάντα
ἐν τοῖσι ἑδωλίοισι, διεξελθεῖν [m] νόμον τὸν ὄρθιον· τελευ-

δεύτερον ἐκ τοῦ μηροῦ· εὑρεθῆναι δὲ τὸν διθύραμβον Πίνδαρος ἐν Κορίνθῳ λέγει· τὸν δὲ ἀρξάμενον τῆς ᾠδῆς Ἀριστοτέλης Ἀρίωνα λέγει. Procl. ap. Phot. ccxxxix.

[m] Ὁ μέντοι νόμος, γράφεται μὲν εἰς Ἀπόλλωνα, ἔχει δὲ καὶ τὴν ἐπωνυμίαν ἀπ' αὐτοῦ· νόμιμος γὰρ ὁ Ἀπόλλων ἐπεκλήθη· ὅτι τῶν ἀρχαίων χοροὺς ἱστάντων, καὶ πρὸς αὐλὸν ἢ λύραν ᾀδόντων τὸν νόμον, Χρυσόθεμις ὁ Κρὴς, πρῶτος στολῇ χρησάμενος ἐκπρεπεῖ, καὶ κιθάραν ἀναλαβὼν, εἰς μίμησιν τοῦ Ἀπόλλωνος, μόνος ᾖσε νόμον. Εὐδοκιμήσαντος δὲ αὐτοῦ διαμένει ὁ τρόπος τοῦ ἀγωνίσματος. Δοκεῖ δὲ Τέρπανδρος μὲν πρῶτος τελειῶσαι

τῶντος δὲ τῦ νόμυ, ῥίψαι μιν ἐς τὴν θάλασσαν ἑωϋτὸν, ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ· καὶ τὸς μὲν ἀποπλέειν ἐς Κόρινθον· τὸν δὲ δελφῖνα λέγυσι ὑπολαβόντα, ἐξενεῖκαι ἐπὶ Ταίναρον· ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον σὺν τῇ σκευῇ, καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. Περίανδρον δὲ ὑπὸ ἀπιστίης Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν, ἀδαμῇ μετιέντα, ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων· [n] ὡς δὲ ἄρα παρεῖναι αὐτὸς, κληθέντας ἱστορέεσθαι εἴ τι λέγοιεν περὶ Ἀρίονος· φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ Ἰταλίην, καί μιν εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα, ὥσπερ ἔχων ἐξεπήδησε, καὶ τοὺς, σκπλαγέντας, οὐκ ἔχειν ἔτι ἐλεγχομένους ἀρνέεσθαι. Ταῦτα μέν νυν Κορίνθιοί τε καὶ Λέσβιοι λέγυσι· καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν [o] ἄνθρωπος.

Arion delphino vectus Tænaron.

Mors Alyattæ.

V. Ἀλυάττης δὲ ὁ Λυδὸς τὸ πρὸς Μιλησίυς πόλεμον

τὸν νόμον, ἡρῴῳ μέτρῳ χρησάμενος· ἔπειτα Ἀρίων ὁ Μηθυμναῖος ὀκ ὀλίγα συναυξῆσαι, αὐτὸς καὶ ποιητὴς καὶ κιθαρῳδὸς γενόμενος. Proclus ap. Phot. ccxxxix.

[n] Sic ii. 140. ὡς δ' ἄρα οἴχεσθαι τὸν Αἰθίοπα ἐξ Αἰγύπτυ. viii. 94. ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι κατὰ τὸ ἱρόν. et 86. huj. ὡς δὲ ἄρα μιν προσῆναι τῦτο.

[o] Cf. Pauſ. iii. 25. et Ælian. Hiſt. Anim. xii. 45. qui etiam τῦ ἀναθήματος ἐπιγραφὴν, (Ἀθανάτων πόμπαισιν, Ἀρίονα Κύκλιος υἱὸν Ἐκ Σικελοῦ πελάγυς σῶσεν ὄχημα τόδε.) et ipſius quoque Arionis ὕμνον χαριστήριον Ποσειδῶνι (ſi vera fides) ſervavit, quem ex emend. Brunckii, Analect. iii. 327. ſubjicimus.

Ὕψισε θεῶν, πόντιε, Χρυσοτρίαινε Πόσειδον, Γαιήοχε, κυανοχαῖτα, Βράγχιοι περὶ δή σε πλωτοὶ θῆρες Χορεύυσιν ἐν κύκλῳ, Κῆφοισι ποδῶν ῥίμμασιν Ἐλαφρὰ ἀναπαλλόμενοι, Σεισμοὶ φριξαύχενες, Ὠκύδρομοι σκύλακες, Φιλόμυσοι δελφῖνες, Ἔναλ' ἀθύρματα κυρᾶν Νηρηΐδων θεᾶν, Ἃς ἐγείνατ' Ἀμφιτρίτα· Οἵ μ' εἰς Πέλοπος γᾶν ἐπὶ Ταιναρίαν ἀκτὰν ἐπόρευσαν, Πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ, Κύρτοισι νώτοις ὀχέοντες, Ἅλοκα Νηρείας πλακὸς Τέμνοντες, ἀγιδῆ πόρον, Φῶτες δόλιοι ὥς μ' ἀφ' ἁλιπλόου Γλαφυρᾶς νεὼς εἰς οἶδμα Ἁλιπορφύρυ λίμνας ῥίψαν.

διενείκας, μετέπειτα τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ καὶ πεντήκοντα· ἀνέθηκε δὲ, ἐκφυγὼν τὴν νοῦσον, δεύτερος ἄτος τῆς οἰκίης ταύτης, ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον μέγαν, καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητὸν, θέης ἄξιον διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων, Γλαύκου τοῦ Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου
26 κόλλησιν ἐξεῦρε[p]. Τελευτήσαντος δὲ Ἀλυάττεω, ἐξεδέξα- Ol. LIV. 3. A. C. 562.
το τὴν βασιληΐην Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριήκοντα· ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι· ἔνθα δὴ οἱ Ἔφεσοι πολιορκεόμενοι ὑπ' αὐτοῦ, ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, [q]ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ τεῖχος· εἰσὶ δὲ μεταξὺ τοῦ τε παλαιῆς πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ [r]νηοῦ, ἑπτὰ σταδίοι· πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος·

[p] Pausan. x. 16. Τῶν δὲ ἀναθημάτων ἃ οἱ βασιλεῖς ἀπέστειλαν οἱ Λυδῶν, ὑδρίη ἔτι ἦν αὐτῶν εἰ μὴ σιδηρᾶν μόνον τὸ ὑπόθημα τοῦ Ἀλυάττεω κρατῆρος· τοῦτο Γλαύκου μέν ἐστιν ἔργον τοῦ Χίου, σιδήρου κόλλησιν ἀνδρὸς εὑρόντος· ἔλασμα δὲ ἑκαστον τοῦ ὑποθήματος ἐλάσματι ἄλλῳ προσεχὲς ὑ περόναις ἐστὶν ἡ κέντροις, μόνη δὲ ἡ κόλλα συνέχει τε καὶ ἔστιν αὕτη τῷ σιδήρῳ δεσμός· χεῖμα δὲ τοῦ ὑποθήματος κατὰ πύργον μάλιστα ἐς μείουρον ἀνιόντα ἀπὸ εὐρυτέρου τοῦ κάτω· ἑκάστη δὲ πλευρὰ τοῦ ὑποθήματος οὐ διὰ πάσης πέφρακται, ἀλλά εἰσιν αἱ πλάγιαι τοῦ σιδήρου ζῶναι ὥσπερ ἐν κλίμακι οἱ ἀναβασμοί· τὰ δὲ ἐλάσματα τοῦ σιδήρου τὰ ὀρθὰ ἀνέρραπται κατὰ τὰ ἄκρα ἐς τὸ ἐκτός· καὶ ἕδρα τοῦτο ἦν τῷ κρατῆρι. Et Athen. v. 210. εἴδομεν δ' αὐτὸ καὶ ἡμεῖς ἀνακείμενον ἐν Δελφοῖς ὡς ἀληθῶς θέας ἄξιον διὰ τὰ ἐν αὐτῷ ἐντετορευμένα ζωδάρια, καὶ ἄλλα τινὰ ζωΰφια, καὶ φυτάρια.

[q] Cf. Ælian. V. H. iii. 26.

[r] Pausan. vii. 2. Πολλῷ δὲ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ ἐς τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν. Οὐ μὴν πάντα γε ἐς τὴν θεὸν ἐπύθετο (ἐμοὶ δοκεῖν) Πίνδαρος, ὃς Ἀμαζόνας τὸ ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι γρατευομένας ἐπὶ Ἀθήνας τε καὶ Θησέα. Αἱ δὲ ἀπὸ Θερμώδοντος γυναῖκες ἔθυσαν μὲν καὶ τότε τῇ Ἐφεσίᾳ θεῷ, ἅτε ἐπισάμεναί τε ἐκ παλαιοῦ τὸ ἱερὸν, καὶ ἡνίκα Ἡρακλέα ἔφυγον, αἵδε καὶ Διόνυσον τὰ ἔτι ἀρχαιότερα, ἱκέτιδες ἐνταῦθα ἐλθοῦσαι. Οὐ μὴν ὑπὸ Ἀμαζόνων γε ἱδρύνθη· Κρῆσος δὲ αὐτόχθων τις καὶ Ἔφεσος (Καΰστρου δὲ τοῦ ποταμοῦ τὸν Ἔφεσον παῖδα εἶναι νομίζουσιν) ἤτοι τὸ ἱερόν εἰσιν οἱ ἱδρυσάμενοι, καὶ ἀπὸ τοῦ Ἐφέσου τὸ ὄνομά ἐστι τῇ πόλει.

μετὰ δὲ, ἐν μέρει ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων, τῶν μὲν ἐδύνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώμενος, τοῖσι δὲ αὐτέων καὶ φαῦλα ἐπιφέρων. Ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες 27
κατεστράφατο ἐς φόρου ἀπαγωγὴν, τὸ ἐνθεῦτεν ἐπενόεε, νέας ποιησάμενος, ἐπιχειρέειν τοῖσι νησιώτῃσι· ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μιτυληναῖον, εἰρομένου Κροίσου εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε, καταπαῦσαι τὴν ναυπηγίην, "Ὦ βασιλεῦ, νησιῶται ἵππον συνωνέονται μυ-
"ρίην, ἐς Σάρδις τε καὶ ἐπί σε ἔχοντες ἐν νῷ στρατεύεσ-
"θαι·" Κροῖσον δὲ, ἐλπίσαντα λέγειν ἐκεῖνον ἀληθέα, εἰπεῖν, "Αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώ-
"τῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι·" τὸν δὲ, ὑπολαβόντα φάναι, "Ὦ βασιλεῦ, προθύμως μοι φαί-
"νεαι εὔξασθαι νησιώτας ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ εἰ-
"κότα ἐλπίζων· νησιώτας δὲ τί δοκέεις εὔχεσθαι ἄλλο ἢ,
"ἐπεί τε τάχιστα ἐπύθοντό σε μέλλοντα ἐπὶ σφίσι ναυ-
"πηγέεσθαι νέας, λαβεῖν [s]ἀρώμενοι Λυδοὺς ἐν θαλάσσῃ,
"ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τίσωνταί
"σε, τοὺς σὺ δουλώσας ἔχεις;" κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ· καί οἱ (προσφυέως γὰρ δόξαι λέγειν) πειθόμενον, παύσασθαι τῆς ναυπηγίης· καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι Ἴωσι ξεινίην συνεθήκατο.

Crœsus subigit Græcos in Asia.

VI. Χρόνου δὲ ἐπιγινομένου, καὶ κατεστραμμένων σχεδὸν 28
πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένων· (πλὴν γὰρ Κιλίκων καὶ Λυκίων, τοὺς ἄλλους πάντας ὑπ' ἑωϋτῷ εἶχε

[s] Eleganti conjectura Toupius pro ἀρώμενοι legendum censet αἰωρουμένους. Emend. in Suid. ii. 496.

καταστρεψάμενος ὁ Κροῖσος· εἰσὶ δὲ οἵδε, Λυδοὶ, Φρύγες, Μυσοὶ, Μαριανδυνοὶ, Χάλυβες, Παφλαγόνες, [t] Θρῆκες, οἱ Θυνοί τε καὶ Βιθυνοὶ, Κᾶρες, Ἴωνες, Δωριέες, Αἰολέες,
29 Πάμφυλοι·) κατεστραμμένων δὲ τούτων, καὶ προσεπικτωμένου Κροίσου Λυδοῖσι, ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταὶ, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτέων ἀπικνέοιτο· καὶ δὴ καὶ Σόλων, ἀνὴρ Ἀθηναῖος, Solon.
ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας, ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο· αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο, δέκα ἔτεα χρήσεσθαι νό-
30 μοισι τοὺς ἂν σφίσι Σόλων θῆται. Αὐτῶν δὴ ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν, ἐς Αἴγυπτον ἀπίκετο παρὰ Ἄμασιν, καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον[v]· ἀπικόμενος δὲ, ἐξεινίζετο ἐν τοῖσι βασιληΐοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ, ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου, τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια· θεησάμενον δέ μιν τὰ πάντα, καὶ σκεψάμενον ὥς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε. "Ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ "περὶ σέο λόγος ἀπῖκται πολλὸς, καὶ σοφίης εἵνεκεν "τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν

[t] Thracas non Europæos dicit, ſed Aſiæ incolas, Thynos ſc. et Bithynos ex Thracia progreſſos. Cf. vii. 75. et Strabon. xii. 541. Hinc Xenophon Hellen. iii. 2. regionem iſtam τὴν Βιθυνίδα Θρᾴκην, et K. Αν. vi. 2. Θρᾴκην ſimpliciter, et vi. 4. Θρᾴκην τὴν ἐν τῇ Ἀσίᾳ appellat: deinde ſubjicit, ἀρξαμένη δὲ ἡ Θρᾴκη αὕτη ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ Πόντου μέχρι Ἡρακλείας ἐπὶ δεξιὰ εἰς τὸν Πόντον εἰσπλέοντι.

[v] Cf. Plutarch. in Solon. p. 93.

" θεωρίης εἵνεκεν ἐπελήλυθας[u]· νῦν ὦν ἵμερος ἐπείρεσ-
" θαί με ἐπῆλθέ σε, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον;" ὁ μὲν, ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος, ταῦτα ἐπηρώτα· Σόλων δὲ, οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος, λέγει, " Ὦ βασιλεῦ, Τέλ-
" λον Ἀθηναῖον" ἀποθωϋμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο ἐπισρεφέως[w], " Κοίῃ δὴ κρίνεις Τέλλον εἶναι
Tellus. " ὀλβιώτατον;" ὁ δὲ εἶπε, " Τέλλῳ, τοῦτο μὲν, τῆς πό-
" λιος εὖ ἠκούσης, παῖδες ἦσαν καλοί τε κἀγαθοὶ, καὶ
" σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα, καὶ πάντα πα-
" ραμείναντα· τοῦτο δὲ, τὸ βίῳ εὖ ἤκοντι, ὡς τὰ παρ'
" ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο· γενο-
" μένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀσυγείτονας
" ἐν Ἐλευσῖνι, βοηθήσας, καὶ τροπὴν ποιήσας τῶν
" πολεμίων, ἀπέθανε κάλλιστα· καί μιν Ἀθηναῖοι
" δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇπερ ἔπεσε, καὶ ἐτί-
" μησαν μεγάλως." Ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προ- 31
ετρέψατο ὁ Σόλων τὸν Κροῖσον, εἴπας πολλά τε καὶ ὄλβια, ἐπηρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι; δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι· ὁ δὲ εἶπε, " Κλεόβίν 32
Cleobis et Biton. " τε καὶ Βίτωνα· τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι
" βίος τε ἀρκέων ὑπῆν· καὶ πρὸς τούτῳ, ῥώμη σώ-
" ματος τοιήδε, ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἔσαν·
" καὶ δὴ καὶ λέγεται ὅδε ὁ λόγος· ἑούσης ὁρτῆς τῇ Ἥρῃ
" τοῖσι Ἀργείοισι, ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύ-

[u] Hom. Il. ο'. 80.—ὅς τ' ἐπὶ πολλὴν Γαῖαν ἐληλυθώς·—

[w] *Vehementius interrogabat*—ſic viii. 62. λέγων μᾶλλον ἐπεσραμμένα. Vox ipſa inter λέξεις Ἰωνικὰς a Grammaticis plerumque numeratur, at ab Æſchine in Timarch. x. 30. uſurpata eſt, (vid. etiam Ephippum apud Athen. ii. 65.) et videtur ſane in communem uſum tranſiiſſe, ab Heſychio ſc. ad v. ἐπικότως explicandam adhibita.

" γει κομιωθῆναι ἐς τὸ ἱρόν· οἱ δὲ σφι βόες ἐκ τοῦ ἀγροῦ
" οὐ παρεγίνοντο ἐν ὥρῃ· ἐκκληϊόμενοι δὲ τῇ ὥρῃ οἱ νε-
" ηνίαι, ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην, εἵλκον τὴν
" ἅμαξαν· ἐπὶ τῆς ἁμάξης δὲ σφι ὀχέετο ἡ μήτηρ·
" σταδίους δὲ πέντε καὶ τεσσεράκοντα διακομίσαντες,
" ἀπίκοντο ἐς τὸ ἱρόν· ταῦτα δέ σφι ποιήσασι, καὶ ὀφ-
" θεῖσι ὑπὸ τῆς πανηγύριος, τελευτὴ τοῦ βίου ἀρίστη
" ἐπεγένετο· διέδεξέ τε ἐν τούτοισι ὁ θεὸς, ὡς ἄμεινον
" εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν[x]. Ἀργεῖοι μὲν
" γὰρ περιστάντες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην·
" αἱ δὲ Ἀργεῖαι, τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἐκύ-
" ρησε· ἡ δὲ μήτηρ, περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ
" φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος, εὔχετο, Κλεόβι
" τε καὶ Βίτωνι, τοῖσι ἑωυτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν
" μεγάλως, δοῦναι τὴν θεὸν τὸ ἀνθρώπῳ τυχεῖν ἄρισ-
" τόν ἐστι· μετὰ ταύτην δὲ τὴν εὐχὴν, ὡς ἔθυσάν τε καὶ
" εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νε-
" ηνίαι, οὐκέτι ἀνέστησαν, ἀλλ' ἐν τέλει τούτῳ ἔσχοντο.
" Ἀργεῖοι δὲ σφέων εἰκόνας ποιησάμενοι, [y] ἀνέθεσαν ἐς
32 " Δελφοὺς, ὡς ἀνδρῶν ἀρίστων γενομένων." Σόλων μὲν
δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τούτοισι. Κροῖσος δὲ
παρεχθεὶς[z] εἶπε, " Ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐ-

μὴ φῦναι τὸν ἅπαντα νικᾷ λόγον, &c. Sophocl.

[x] Εἰς ὃς καὶ τοιόνδε τις ἐπίγραμμα ποιήσει. Οἵδε Βίτων Κλεόβις τ' ἐπὶ σώμασιν οἰκείοισιν Ζεύγλαν ζευξάμενοι, μητέρα ἣν ἀγέτην Ἥρας εἰς ἱερόν· λαοὶ δέ μιν ἐζήλωσαν Εὐτεκνίας παίδων· ἡ δὲ χαρεῖσα θεᾷ Εὔξαλο, παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης, Οὕνεκ' ἐτίμησαν μητέρα τὴν σφετέρην. Αὐτοῦ δ' εὐνηθέντε λίπον βίον ἐν νεότητι, Ὡς τόδ' ἄριστον ἐὸν καὶ μακαριστότατον. Stob. Serm. cxix. Vid. etiam Cic. Tusc. Quæst. i. 47.

[y] Cæterum non Delphis tantum, sed et Argis quoque, in templo Lycii Apollinis, visebantur ἐπειρασμένοι λίθῳ Κλεόβις καὶ Βίτων, αὐτοί τε ἕλκοντες τὴν ἅμαξαν, καὶ ἐπ' αὐτῇ ἄγοντες τὴν μητέρα ἐς τὸ Ἡραῖον. Pausan. ii. 20.

[z] Suidas, Σπερχθείς· παρ' Ἡροδότῳ, ἀντὶ τοῦ ταραχθείς, θυμωθείς. Et ita Pind. Nem. i. 60. Ἀλλὰ Θεῶν βασίλεια Σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.

" δαιμονίη ἔτω τοι ἀπέρριπται ἐς τὸ μηδέν, ὡς τε ἀδὲ
" ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας;" ὁ δὲ εἶπε,
" Ὦ Κροῖσε, ἐπισταμένου με τὸ [a] θεῖον πᾶν ἐὸν φθο-
" νερόν τε καὶ ταραχῶδες, ἐπειρωτᾷς ἀνθρωπηίων
" πρηγμάτων πέρι; ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ
" μέν ἐστιν ἰδέειν τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ πα-
" θέειν· ἐς γὰρ ἑβδομήκοντα ἔτεα ἕρον τῆς ζόης ἀν-
" θρώπῳ προτίθημι· ἔστι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα,
" παρέχονται ἡμέρας διηκοσίας καὶ πεντακισχιλίας καὶ
" δισμυρίας, ἐμβολίμου μηνὸς μὴ γενομένου· εἰ δὲ δὴ
" ἐθελήσει τέτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι,
" ἵνα δὴ αἱ ὧραι συμβαίνωσι προσηνόμεναι ἐς τὸ δέον,
" μέσες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι
" γίνονται τριήκοντα πέντε· ἡμέραι δὲ ἐκ τῶν μηνῶν
" τούτων, χίλιαι πεντήκοντα· [b] τετέων τῶν ἀπασέων
" ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐσσέων πεν-
" τήκοντα καὶ διηκοσίων καὶ ἑξακισχιλιέων καὶ δισμυρι-
" έων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τοπαράπαν οὐδὲν
" ὅμοιον προσάγει πρήγμα· ἔτω ὦν, ὦ Κροῖσε, πᾶν
" ἐστι ἄνθρωπος συμφορή· ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μὲν
" μέγα φαίνεαι, καὶ βασιλεύς εἶναι πολλῶν ἀνθρώπων·
" ἐκεῖνο δὲ τὸ εἴρεό με, ἔκω σε ἐγὼ λέγω, [c] πρὶν ἂν

[a] Similia his Amasis ad Polycratem (iii. 40.) et Artabanus ad Xerxem (vii. 46.) Verius Plato in Phædr. 247. Φθόνος ἔξω χορῶ θείᾳ ἵσταται. Et Plutarchus in secundo contra Colotem, Ἀγαθὸς γάρ ἐστι, (ὁ Θεὸς sc.) ἀγαθῷ δὲ περὶ οὐδενὸς ἐγγίνεται φθόνος, οὔτε φόβος, οὔτε ὀργὴ ἢ μῖσος.

[b] Nequaquam ex hoc annorum calculo expediunt se viri docti. Corrupta sunt omnia, opinor, et mendosa: vix enim crederem Herodotum in re satis obvia tam turpiter hallucinatum fuisse.

[c] Ὥστε θνητὸν ὄντ', ἐκείνην τὴν τελευταίαν ἰδεῖν Ἡμέραν ἐπισκοπεῦντα, μηδὲν ὀλβίζειν, πρὶν ἂν Τέρμα τὸ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών. Soph. Œdip. Tyr. in fine. Cf. Arist. Eth. Nic. i. 10. et Eudem. ii. 1.

" τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι· ȣ̓ γάρ
" τοι ὁ μέγα πλούσιος μᾶλλον τȣ̃ ἐπ' ἡμέρην ἔχοντος
" ὀλβιώτερός ἐςι, εἰ μή οἱ τύχη ἐπίσποιτο, πάντα καλὰ
" ἔχοντα τελευτῆσαι εὖ τὸν βίον· πολλοὶ μὲν γὰρ ζά-
" πλȣτοι ἀνθρώπων, ἀνόλβιοί εἰσι· πολλοὶ δὲ μετρίως
" ἔχοντες βίȣ, εὐτυχέες· ὁ μὲν δὴ μέγα πλούσιος,
" ἀνόλβιος δὲ, δυοῖσι προέχει τȣ̃ εὐτυχέος μούνοισι·
" ȣ̃τος δὲ, τȣ̃ πλȣσίȣ καὶ ἀνολβίȣ πολλοῖσι· ὁ μὲν, ἐπι-
" θυμίην ἐκτελέσαι, καὶ ἄτην μεγάλην προσπεσȣ̃σαν
" ἐνεῖκαι δυνατώτερος· ὁ δὲ, τοῖσι δὴ προέχει ἐκείνȣ,
" ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως δυνατὸς ἐκείνῳ
" ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει· ἄπηρος δέ
" ἐςι, ἄνȣσος, ἀπαθὴς κακῶν, εὔπαις, εὐειδής· εἰ δὲ
" πρὸς τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ, ȣ̃τος ἐκεῖνος,
" τὸν σὺ ζητεῖς, ὄλβιος κεκλῆσθαι ἄξιός ἐςι· πρὶν δ'
" ἂν τελευτήσῃ, ἐπιχέειν, μηδὲ καλέειν κω ὄλβιον[d],
" ἀλλ' εὐτυχέα· τὰ πάντα μέν νυν ταῦτα συλλαβεῖν
" ἄνθρωπον ἐόντα, ἀδύνατον· ὥσπερ χώρη οὐδεμίη κατ-
" αρκέει πάντα ἑωϋτῇ παρέχȣσα, ἀλλὰ ἄλλο μὲν
" ἔχει, ἑτέρȣ δὲ ἐπιδέεται· ἡ δὲ ἂν τὰ πλεῖςα ἔχῃ,
" ἀρίςη αὕτη· ὡς δὲ καὶ ἀνθρώπȣ σῶμα ἓν ȣ̓δὲν αὔτ-
" αρκές ἐςι· τὸ μὲν γὰρ ἔχει, ἄλλȣ δὲ ἐνδεές ἐςι· ὃς
" δ' ἂν αὐτέων πλεῖςα ἔχων διατελέῃ, καὶ ἔπειτα τε-
" λευτήσῃ εὐχαρίςως τὸν βίον, ȣ̃τος παρ' ἐμοὶ τὸ οὔ-
" νομα τȣ̃το, ὦ βασιλεῦ, δίκαιός ἐςι φέρεσθαι· σκο-
" πέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτὴν κῆ ἀπο-
" βήσεται· πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς, [e] προρ-

[d] Ad hunc fortasse locum respiciens Hesychius, Ὄλβιος, inquit, ὁ διὰ τȣ̃ ὅλȣ βίȣ μακαριςός· ante dixerat, Ὄλβιος, πλȣ́σιος, εὐδαίμων, ut apud Homerum passim.

[e] Hom. Il. Ξ'. 414. Ὡς δ' ὅθ' ὑπαὶ ῥιπῆς πατρὸς Διὸς ἐξι-

" ῥίζης ἀνέτρεψε." Ταῦτα λέγων τῷ Κροίσῳ ἤκως 33
οὔτε ἐχαρίζετο, [f]ἅτε λόγῳ μὲν ποιησάμενος ἀδένος, ἀπο-
πέμπεται, κάρτα δόξας ἀμαθὴς εἶναι, ὃς τὰ παρεόντα
ἀγαθὰ μετεὶς, τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευε.

VII. Μετὰ δὲ Σόλωνα οἰχόμενον, ἔλαβε ἐκ θεοῦ 34
[g]νέμεσις μεγάλη Κροῖσον, (ὡς εἰκάσαι) ὅτι ἐνόμισε
ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. Αὐτίκα
δὲ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὃς οἱ τὴν ἀληθηίην ἔφαινε τῶν
μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα· ἦσαν δὲ
τῷ Κροίσῳ δύο παῖδες· τῶν ἕτερος μὲν διέφθαρτο· ἰῶ
γὰρ δὴ κωφός· ὁ δὲ ἕτερος, τῶν ἡλίκων μακρῷ τὰ
πάντα πρῶτος· οὔνομα δέ οἱ ἦν Ἄτυς· τοῦτον δὴ ὧν
τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς ἀπολέει μιν
αἰχμῇ σιδηρέῃ βληθέντα· ὁ δ' ἐπεί τ' ἐξηγέρθη, καὶ
ἑωυτῷ λόγον ἔδωκε, κατορρωδήσας τὸν ὄνειρον, ἄγεται μὲν
τῷ παιδὶ γυναῖκα· ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυ-
δῶν, ἀδαμὴ ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε· ἀκόντια
δὲ καὶ δοράλια, καὶ τὰ τοιαῦτα πάντα τοῖσι χρέονται ἐς
πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας, ἐς τὸς 36
θαλάμους συνέκλησε, μή τί οἱ κρεμάμενον τῷ παιδὶ ἐμ-
πέσῃ. Ἐχοντος δὲ οἱ ἐν χερσὶ τὸν παιδὸς τὸν γάμον, 35

Crœsi somnium.

ρίπτῃ δρῦς Πρόῤῥιζος·—vid. etiam Λ'. 157.

[f] Ita ferme Plut. ἤδη μὲν ἀλλόκοτος ἐδόκει εἶναι τῷ Κροίσῳ καὶ ἄγροικος· in Solon. p. 93.

[g] Καὶ ἅμφω τὰ πάθη (ἔλεος sc. et νέμεσις) ἤθους χρηστοῦ· δεῖ γὰρ, ἐπὶ μὲν τοῖς ἀναξίως πράττουσι κακῶς συνάχθεσθαι καὶ ἐλεεῖν, τοῖς δὲ εὖ νεμεσᾶν—διὸ καὶ τοῖς θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν. Aristot. Rhet. ii. 11.

[h] Hom. Il. Ω'. 480. Ὡς δ' ὅταν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅς τ' ἐνὶ πάτρῃ Φῶτα κατακτείνας, ἄλλον ἐξίκετο δῆμον, Ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰσορόωντας· ad quem locum Scholiast. Ἔθος ἦν παρὰ τοῖς παλαιοῖς τὸν ἀκούσιον φόνον ἐργασαμένον φεύγειν ἐκ τῆς πατρίδος καὶ παραγίγνεσθαι εἴς τινος οἰκίαν ἀνδρὸς πλουσίου, καὶ καθίζειν ἐπὶ τῆς ἑστίας συγκεκαλυμμένον, καθαρσίων δεόμενον. Cæterum omnia quæ ad κάθαρσιν hanc attinent descripsit Apollonius iv. 690. et seqq.

ἀπιχνέεται ἐς τὰς Σάρδις ἀνὴρ συμφορῇ ἐχόμενος, καὶ οὐ καθαρὸς χεῖρας ἐὼν, Φρυξ μὲν γενεῇ, γένεος δὲ τοῦ βασηΐου· παρελθὼν δὲ ἔστο ἐς τὰ Κροίσου οἰκία, [h] καὶ τὰ νόμιμα τὰς ἐπιχωρίους καθαρσίου ἐδέετο κυρῆσαι· Κροῖσος δέ μιν ἐκάθηρε· ἔστι δὲ ὡυτὰ παπλησίη ἡ κάθαρσις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι· ἐπεί τε δὲ τὰ νομιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καὶ τίς εἴη; λέγων τάδε· "Ὦ ἄνθρωπε, τίς τε ἐὼν, καὶ κόθεν τῆς "Φρυγίης ἦκων, [i] ἐπίσιος ἐμοὶ ἐγένεο; τίνα τε ἀνδρῶν ἢ "γυναικῶν ἐφόνευσας;" Ὁ δὲ ἀμείβετο· "Ὦ βασιλεῦ, "Γορδίεω μὲν τοῦ Μίδεω εἰμὶ παῖς, ὀνομάζομαι δὲ "Ἄδρηστος· φονεύσας δὲ ἀδελφεὸν ἐμεωυτοῦ ἀέκων, "πάρειμι ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς, καὶ ἐστε-"ρημένος πάντων." Κροῖσος δέ μιν ἀμείβετο τοῖσδε· "Ἀνδρῶν τε φίλων τυγχάνεις ἔκγονος ἐών, καὶ ἐλή-"λυθας ἐς φίλους· ἔνθα ἀμηχανήσεις χρήματος οὐ-"δενὸς, μένων ἐν ἡμετέρῳ· συμφορὴν δὲ ταύτην ὡς κα-"κόπαθα φέρων, κερδανέεις πλεῖσον." ὁ μὲν δὴ δίαιταν
36 εἶχε ἐν Κροίσου. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ, ἐν τῷ Μυσίῳ Οὐλύμπῳ συὸς [k] χρῆμα γίνεται μέγα· ὀρμεώ-

Adrasti adventus.

[i] Verte *ad focum mihi adsides*. Recte Scholiastes Apollonii ἐφέστιον, ἐπὶ τῇ ἑστίᾳ ὄντα interpretatur. Ita in Alcinoi domo Ulysses—καὶ' ἄρ' ἕζετ' ἐπ' ἐσχάρῃ ἐν κονίῃσι Παρ πυρί·—Od. H'. 153. quod quidem supplicibus solenne erat, iis tamen præcipue qui cæde conscelerati καθάρσιος ἰδέοντο. Ita in domo Circes, Medæa et Jason hanc ipsam ob causam Circen adeuntes—ἄντεα καὶ ἄναυδοι ἐφ' ἑστίῃ αἰξάντες Ἴξιονα, ἥτε δίκη λυγροῖς ἱκέτῃσι τέτυκται. Apoll. iv. 693. Notandum est etiam Crœsum non nisi post expiationis ritus peractos Adrastum interrogasse ὁκόθεν τε καὶ τίς εἴη. Ita et Circe (Apoll. iv. 718.)—ἐπεὶ μάλα πάντα πονήσατο, δὴ τότ' ἔπειτα—Χρεῖω, ναυτιλίην τε διακριδὸν ἐξερέεινεν.

[k] Xen. K. Π. i. 4. Καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα καὶ μέγα. Infr. vii. 188. τοῦ χειμῶνος χρῆμα ἀφόρητον. vid. et iv. 81.

μῦθος δὲ ὅτος ἐκ τοῦ ὄρεος τότε, τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε· πολλάκι δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες, ποιέεσκον μὴ οὐδὲν κακὸν, ἔπαρχον δὲ πρὸς αὐτοῦ· τέλος δὲ, ἀπικόμενοι πρὸς τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι, ἔλεγον τάδε, "Ὦ βασιλεῦ, ὑὸς χρῆμα μέγιστον ἀνεφάνη ἡμῖν ἐν τῇ χώρῃ, ὃς [1]τὰ ἔργα διαφθείρει· τοῦτον προθυμεόμενοι ἑλέειν οὐ δυνάμεθα· νῦν ὦν προσδεόμεθά σεῦ, τὸν παῖδα καὶ λογάδας νεηνίας καὶ κυνὰς συμπέμψαι ἡμῖν, ὡς ἄν μιν ἐξέλωμεν ἐκ τῆς χώρης." Οἱ μὲν δὴ τούτων ἐδέοντο. Κροῖσος δὲ μνημονεύων τεῦ ὀνείρου τὰ ἔπεα, ἔλεγέ σφι τάδε· "Παιδὸς μὲν περὶ τοῦ ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν ὑμῖν συμπέμψαιμι· νεόγαμός τε γάρ ἐστι, καὶ ταῦτά οἱ νῦν μέλει. Λυδῶν μέντοι λογάδας καὶ τὸ κυνηγέσιον πᾶν συμπέμψω· καὶ διακελεύσομαι τοῖσι ἰοῦσι, εἶναι ὡς προθυμοτάτοισι συνεξελεῖν ὑμῖν τὸ θηρίον ἐκ τῆς χώρης." Ταῦτα ἀμείψατο· ἀποχρεωμένων δὲ τούτοισι τοῦ Μυσῶν, ἐπεισέρχεται ὁ τοῦ Κροίσου παῖς, ἀκηκοὼς τοῦ ἐδέοντο οἱ Μυσοί· ἀτὰρ δὲ τοῦ Κροίσου τόν γε παῖδά σφι συμπέμψαν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε· "Ὦ πάτερ, τὰ κάλλιστα πρότερον ἦα καὶ γενναιότατα ἡμῖν ἦν, ἔς τε πολέμους καὶ ἐς ἄγρας φοιτέοντα ἀδοκιμέειν· νῦν δὲ ἀμφοτέρων με τούτων ἀποκληίσας ἔχεις, ἔτε τινὰ

Myſi auxilium contra aprum a Crœſo petunt.

37 38 39 40

[1] Segetes nimirum et vineas et cætera ejuſmodi. Ita Homerus de torrente imbribus aucto—μινύθει δέ τε ἔργ' ἀνθρώπων. Il. Π'. 392. et recte in Lexico ſuo Apollonius ad v. ἔργον, Ὅτ' ἂν ψιλῶς Ὅμηρος ἔργον λέγει, μηδενὸς ἑτέρᾳ συμφραζομένου, μηδ' ἐκ τῶν παρακειμένων δηλουμένου, τὴν γεωργίαν δηλοῖ. Eodem ſenſu apud Xenophontem ἔργων ἐπίστασις Mem. i. 5. ἔργαται Œcon. iv. 9. et ἐργασῆρις Œcon. xiii. 10.—hinc porro αὐτοῦργος, non ſolum, *qui per ſe operatur*, ſed et peculiari ſenſu, *qui ſuum ipſius agrum colit.*

" δειλίην μοι παριδὼν, ὄτε ἀθυμίην· νῦν τε [m] τέοισί με χρὴ
" ὄμμασι ἔς τε ἀγορὴν καὶ ἐξ ἀγορῆς φοιτέοντα φαί-
" νεσθαι; κοῖος μέν τις τοῖσι πολιήτῃσι δόξω εἶναι; κοῖος
" δέ τις τῇ νεογάμῳ γυναικί; κοίῳ δὲ ἐκείνη δόξει
" ἀνδρὶ συνοικέειν; ἐμὲ ὦν σὺ ἢ μέθες ἰέναι ἐπὶ τὴν
" θήρην, ἢ λόγῳ ἀνάπεισον ὅκως μοι ἀμείνω ἐστὶ ταῦ-
38 " τα ὅτω ποιεόμενα." Ἀμείβεται Κροῖσος τοῖσδε· " Ὦ
" παῖ, οὔτε δειλίην, ὄτε ἄλλο ὀδὲν ἄχαρι παριδών τοι,
" ποιέω ταῦτα· ἀλλά μοι ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ ἐπι-
" στᾶσα ἔφη σὲ ὀλιγοχρόνιον ἔσεσθαι· ὑπὸ γὰρ αἰχμῆς
" σιδηρέης ἀπολέεσθαι· πρὸς ὦν τὴν ὄψιν ταύτην, τόν
" τε γάμον τοι τοῦτον ἔσπευσα, καὶ ἐπὶ τὰ [n] παραλαμ-
" βανόμενα οὐκ ἀποπέμπω, φυλακὴν ἔχων εἴ κως
" δυναίμην ἐπὶ τῆς ἐμῆς σε ζωῆς διακλέψαι· εἷς
" γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς· τὸν γὰρ δὴ
" ἕτερον, διεφθαρμένον τὴν ἀκοὴν, οὐκ εἶναί μοι λογί-
39 " ζομαι." Ἀμείβεται ὁ νεηνίης τοῖσδε· " Συγγνώμη μὲν ὦ
" πάτερ τοι, ἰδόντι γε ὄψιν τοιαύτην, περὶ ἐμὲ φυλακὴν
" ἔχειν· τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ λέληθέ σε τὸ
" ὄνειρον, ἐμέ τοι δίκαιόν ἐστι φράζειν· φής τοι τὸ ὄνειρον
" ὑπὸ αἰχμῆς σιδηρέης φάναι ἐμὲ τελευτήσειν· ὑὸς δὲ
" κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ σιδηρέη, ἣν σὺ
" φοβέαι; εἰ μὲν γὰρ ὑπὸ ὀδόντος τοι εἶπε τελευτήσειν
" με, ἢ ἄλλου τευ ὅ, τι τούτῳ ἔοικε, χρῆν δή σε ποιέειν
" τὰ ποιέεις· νῦν δὲ ὑπὸ αἰχμῆς· ἐπεί τε ὦν οὐ πρὸς
40 " ἄνδρας ἡμῖν γίνεται ἡ μάχη, μέθες με." Ἀμείβεται
Κροῖσος· " Ὦ παῖ, ἔστι τῇ με νικᾷς γνώμην ἀποφαί-

[m] ii. 82. τέοισι ἐγκυρήσει. iv. 155. τέῳ δυνάμει; κοίῃ χειρί; et Il. Ω'. 387.—τέων δ' ἔξ ἐσσι τοκήων;

[n] Verte *ad ea, quæ suscipiuntur*. Plato in Critia, p. 109. τὰ δὲ ἔργα, διὰ τὰς τῶν παραλαμβανόντων φθορὰς καὶ τῷ μήκει τῶν χρόνων ἠφανίσθη.

"νων περὶ τοῦ ἐνυπνίου· ὡς ὦν νενικημένος ὑπὸ σέο, με-
"ταγινώσκω, μετίημί τέ σε ἰέναι ἐπὶ τὴν ἄγρην." Εἴ- 41
πας δὲ ταῦτα ὁ Κροῖσος, μεταπέμπεται τὸν Φρύγα Ἄ-
δρηστον· ἀπικομένῳ δέ οἱ λέγει τάδε· "Ἄδρηστε, ἐγώ σε
"συμφορῇ πεπληγμένον ἀχάριτι, τήν τοι οὐκ ὀνει-
"δίζω, ἐκάθηρα, καὶ οἰκίοισι [o]ὑποδεξάμενος ἔχω, παρέ-
"χων πᾶσαν δαπάνην· νῦν ὦν (ὀφείλεις γὰρ, ἐμεῦ
"προποιήσαντος χρηστὰ ἔς σε, χρηστοῖσί με ἀμείβεσθαι)
"φύλακα παιδός σε τοῦ ἐμοῦ χρῄζω γενέσθαι, ἐς ἄγρην
"ὁρμεωμένου· μή τινες κατ' ὁδὸν κλῶπες κακοῦργοι ἐπὶ
"δηλήσει φανέωσι ὑμῖν· [p]πρὸς δὲ τοῦτο, καὶ σέ τοι
"χρεών ἐστι ἰέναι, ἔνθα ἀπολαμπρύνεαι τοῖσι ἔργοισι·
"[q]πατρώϊόν τε γάρ τοί ἐστι, καὶ προσέτι ῥώμη ὑπάρχει."
Ἀμείβεται ὁ Ἄδρηστος· "Ὦ βασιλεῦ, ἄλλως μὲν ἔγωγε 42
"ἂν οὐκ ἤϊα ἐς ἄεθλον τοιόνδε· [r]οὔτε γὰρ συμφορῇ
"τοίῃδε κεχρημένον οἰκός ἐστι ἐς ὁμήλικας εὖ πρήσσον-
"τας ἰέναι, οὔτε τὸ βούλεσθαι πάρα· πολλαχῇ τε ἂν
"ἴσχον ἐμεωϋτόν· νῦν δὲ, ἐπεί τε σὺ σπεύδεις, καὶ δεῖ τοι

[o] Hom. Il. Ι'. 474. Φεῦγον ἔπειτ' ἀπάνευθε, δι' Ἕλλαδος εὐρυχόροιο, Φθίην δ' ἐξικόμην ἐριβώλακα, μήτερα μήλων, Ἐς Πηλήα ἄναχθ'· ὁ δέ με πρόφρων ὑπέδεκτο —Καὶ μ' ἀφνειὸν ἔθηκε—Cæterum de voce ὑποδεχόμαι vide Hom. Od. Ξ'. 52.—χαῖρε δ' Ὀδυσσεὺς, Ὅττι μιν ὣς ὑπέδεκτο·—cf. et Il. Ζ'. 136. Σ'. 59, 440. Od. Π'. 70. Υ'. 372. Ψ'. 314. et alibi sæpe. Nimirum apud Hom. ὑποδέχομαι non valet simpliciter *recipere*, sed *in domum*, *in hospitium recipere*, quem etiam sensum servant scriptores Attici. Itaque, e. g. aliud est δέχεσθαι, ἀποδέχεσθαι, καταδέχεσθαι τοὺς φεύγοντας, aliud ὑποδέχεσθαι. Priora illa ad civitatem pertinent quæ exulibus reditum concedit: ὑποδέχεσθαι ad privatum aliquem, qui exules clam redeuntes in domum suam recipit.

[p] Πρὸς δὲ, ἐς τοῦτο καὶ σέ τοι χρεών ἐστι ἰέναι. Valken.

[q] Hom. Od. Δ'. 206. Τοίου γὰρ καὶ πατρός·—

[r] Hom. Od. Θ'. 154. Κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν, ἤπερ ἄεθλοι.

"χαρίζεσθαι (ὀφείλω γάρ σε ἀμείβεσθαι χρηστοῖσι)
"ποιέειν εἰμὶ ἕτοιμος ταῦτα· παῖδά τε σὸν, τὸν
"Διακελεύεαι φυλάσσειν, ἀπήμονα τοῦ φυλάσσοντος
43 "εἵνεκεν προσδόκα τοι ἀπονοστήσειν." Τοιούτοισι ἐπεί
τε οὗτος ἀμείψατο Κροῖσον, ἤϊσαν μετὰ ταῦτα ἐξηρτυ-
μένοι λογάσι τε νεηνίῃσι καὶ κυσί· ἀπικόμενοι δὲ ἐς τὸν
[s]Οὔλυμπον τὸ ὄρος, ἐζήτεον τὸ θηρίον· εὑρόντες δὲ, καὶ
περιστάντες αὐτὸ κύκλῳ, ἐσηκόντιζον· ἔνθα δὴ ὁ ξεῖνος οὗτος
δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεόμενος δὲ Ἄδρηστος, ἀκον-
τίζων τὸν σῦν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ
Κροίσου παιδός· ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ, ἐξέπλησε
τοῦ ὀνείρου τὴν [t]φήμην· ἔθεε δέ τις ἀγγελέων τῷ Κροί-
σῳ τὸ γεγονός· ἀπικόμενος δὲ ἐς τὰς Σάρδις, τήν τε
44 μάχην καὶ τὸν τοῦ παιδὸς μόρον ἐσήμηνέ οἱ. Ὁ δὲ
Κροῖσος, τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος,
μᾶλλόν τι ἐδεινολογέετο, ὅτι μιν ἀπέκτεινε, τὸν αὐτὸς
φόνου ἐκάθηρε· περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς, ἐκά-
λεε μὲν Δία καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου
πεπονθὼς εἴη· ἐκάλεε δὲ ἐπίστιόν τε καὶ ἑταιρήϊον, τὸν
αὐτὸν τοῦτον ὀνομάζων θεόν· τὸν μὲν ἐπίστιον καλέων,
διότι δὴ οἰκίοισι ὑποδεξάμενος τὸν ξεῖνον, φονέα τοῦ
παιδὸς ἐλάνθανε βόσκων· τὸν δὲ ἑταιρήϊον, ὡς φύλακα
45 συμπέμψας αὐτὸν, εὑρήκοι πολεμιώτατον. Παρῆσαν
δὲ μετὰ τοῦτο οἱ Λυδοὶ φέροντες τὸν νεκρὸν, ὄπισθεν δὲ
εἵπετό οἱ ὁ φονεύς· στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ, παρε-

Atys ab Adrasto occisus. Ol. LVII. 3. A. C. 550.

[s] Cf. Strabon. xii. 571. ubi de Olympo Mysio, et ipsis Mysis, multa notatu digna.

[t] Φῆμιν· Cod. Arch. quod melius videtur: ita iii. 153. Πρὸς ταύτην τὴν φῆμιν. Hom. Od. Ω'. 200.—χαλεπὴν δέ τε φῆμιν ὄπασσε· ad q. l. Eustathius φανερῶς ἡ φῆμις ἐστὶν Ἰωνικῶς, καθὰ καὶ ἀλλαχοῦ. Discrimen, ut recte monet Wessel. exiguum, non negligendum tamen.

δίδε ἑωϋτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας, ἐπικατασφάξαι μιν κελεύων τῷ νεκρῷ· λέγων τήν τε προτέρην ἑωϋτοῦ συμφορὴν, καὶ ὡς ἐπ' ἐκείνῃ τὸν καθήραντα ἀπολωλεκὼς εἴη· οὐδέ οἱ εἴη βιώσιμον. Κροῖσος δὲ τούτων ἀκούσας, τόν τε Ἄδρηστον κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηίῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτόν, "Ἔχω, "ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην[u], ἐπειδὴ σεωϋτὸν "καταδικάζεις θάνατον· εἷς δὲ ὁ σύ μοι τῶνδε τῶ κα- "κοῦ [x]αἴτιος, εἰ μὴ ὅσον ἀέκων ἐξεργάσαο, ἀλλὰ θεῶν "κού τις, ὅς μοι καὶ πάλαι προεσήμηνε τὰ μέλλοντα "ἔσεσθαι." Κροῖσος μέν νυν ἔθαψε ὡς εἰκὸς ἦν τὸν ἑωϋτοῦ παῖδα. Ἄδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, ἔτος δὴ ὁ Φρυγὸς μὲν τοῦ ἑωϋτοῦ ἀδελφεοῦ νομόμενος, [y]φονεὺς δὲ τοῦ καθήραντος, ἐπεί τε ἡσυχίη τῶν ἀνθρώπων

[u] Iisdem fere verbis Aristoteles Rhet. ii. 3. Καὶ τοῖς ὁμολογοῦσι καὶ μεταμελομένοις (πρᾷοί εἰσιν) ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεποιημένοις, παύονται τῆς ὀργῆς. Recte autem Hermogenes περὶ μεθόδ. δεινότητος, c. 32. Τῶν δὲ ἀδικημάτων μία παραμυθία, ἡ ὁμολογία καὶ ἀπολογία. Ὅμηρος τοῦτο ἐδίδαξεν, Ἡρόδοτος ἐμιμήσατο. Οἷον, Ἑλένη τῶν κακῶν αἰτία πᾶσι καὶ Ἕλλησι, καὶ βαρβάροις, καὶ μάλιστα τοῖς Τρωσὶν ὁμολογουμένως κακῶς ἐλήλυθε. Τί ἂν ποιεῖ; ὅταν διαλέγηται τῶν Τρώων τινὶ, ἑαυτῆς κατηγορεῖ, καὶ ὁμολογεῖ τὴν ἀδικίαν. Καὶ τοῦτο οὐ μόνον αὐτῇ ἀπολογίας, ἀλλὰ καὶ ἐλέου παραμυθίας αἴτιον γίνεται. Αὐτῷ γοῦν τῷ Πριάμῳ διαλεγομένη, ἑαυτῆς κατηγορεῖ ὥστε τὸν γέροντα, εἰ μὴ ἐμίσει αὐτὴν, μεταβάλλεσθαι καὶ ἐλεεῖν· ἀποκρίνεται ἔν, Οὔτι μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσι. Καὶ παρ' Ἡροδότῳ, ὁ Ἄδρηστός ἐστιν ὑπὸ Κροίσου εὐεργετηθεὶς, καὶ καθαρθεὶς, καὶ φύλαξ τοῦ παιδὸς αὐτοῦ ἀποπεμφθεὶς, εἶτα ἀποκτείνας τὸν Ἄτυν ἐν τῇ θήρᾳ· Καὶ τοῦ Κροίσου βοῶντος, καὶ ἀγανακτοῦντος, ἑαυτὸν προτείνων, κατηγορεῖ ἑαυτοῦ, καὶ ἀποκτεῖναι κελεύει, ὥστε τὸν Κροῖσον παρ' Ἡροδότῳ τὴν τοῦ Πριάμου φωνὴν ἀφίεναι πρὸς τὸν νεανίσκον, εἷς δέ μοι οὐ σὺ τούτων αἴτιος, ἀλλὰ θεῶν κεῖ τις, ὅς μοι προεσήμαινεν ἐν τῷ ὀνείρῳ.

[x] Hom. Il. Γ'. 164. Οὔτι μοι αἰτίη ἐσσὶ, θεοί νύ μοι αἴτιοί εἰσιν.

[y] Laudat ἐπανάληψιν hanc Hermogenes tanquam ἦθος βεβαιώσει pulcherrime inservientem. περ. μεθ. δειν. c. 9.

[z] Eadem est verbi forma

ἐγίνετο ὥστε τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι τῶν αὐτὸς [z] ἥκιστα βαρυσυμφορώτατος, ἑωυτὸν ἐπικατασφάζει τῷ τύμβῳ [a]. Adraſti mors.

46 VIII. Κροῖσος δὲ ἐπὶ δύο ἔτεα ἐν πένθεϊ μεγάλῳ καθῆστο, τῷ παιδὸς ἐστερημένος· μετὰ δὲ, ἡ Ἀστυάγεος τοῦ Κυαξάρεω ἡγεμονίη καταιρεθεῖσα ὑπὸ Κύρου τοῦ Καμβύσεω, καὶ τὰ τῶν Περσέων πρήγματα αὐξανόμενα, πένθεος μὲν Κροῖσον ἀπέπαυσε· ἐνέβησε δὲ ἐς φροντίδα, εἴ κως δυνατὸν εἴη, πρὶν μεγάλους γενέσθαι τοὺς Πέρσας, καταλαβεῖν αὐτῶν αὐξανομένην τὴν δύναμιν· μετὰ ὧν τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν [c] Ἕλλησι, καὶ τοῦ ἐν Λιβύῃ· διαπέμψας ἄλλους ἄλλῃ, τοὺς μὲν ἐς Δελφοὺς ἰέναι, τοὺς δὲ ἐς [b] Ἄβας τὰς Φωκέων, τοὺς δὲ ἐς [c] Δωδώνην· οἱ δέ τινες ἐπέμποντο ὥδε τε [d] Ἀμφιάρεων καὶ πρὸς [b] Τροφώνιον· οἱ δὲ, ἐς [e] Μιλησίης ἐς [e] Βραγχίδας· ταῦτα μέν νυν τὰ Ἑλληνικὰ μαντήια, ἐς τὰ ἀπέπεμψε μαθησόμενος Κροῖσος, Λιβύης δὲ [f] πρὸς [y] Ἄμμωνα ἀπέστελλε ἄλλους χρησομένους. Διέπεμπε δὲ ὡρεώμενος τὸ μαντήιον ὅ, τι φρονέοιεν· ὡς Crœſus explorat oracula. Ol. LVIII. 1. A. C. 548.

apud Hom. Il. X'. 280. Ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον·—et Od. I'. 205.—οὐδέ τις αὐτὸν Ἠείδει δμώων.—

[a] Cf. Diod. Excerpt. t. ii. 553.

[b] Vide viii. 134.

[c] Vide ii. 52.

[d] Amphiarai hiſtoria etiam Tyronibus nota. Stemma ita ordinandum eſt. Cretheus, Amythaon (Hom. Od. Λ'. 258.) Antiphates, Oicles, Amphiaraus, ex quo Alcmæon, et Amphilochus, (Od. O'. 242.) vid. iii. 91. In Oropo Atticæ colebatur—ἀπέχει δὲ ἰσθ. τῆς πόλεως σταδίους μάλιστα ἱερὸν τοῦ Ἀμφιαράου—καὶ πρῶτον μὲν καθήρασθαι νομίζουσιν ὅσοι ἦλθον Ἀμφιαράῳ χρησάμενοι—προεξιερεσαμένων δὲ τούτων, κριὸν θύσαντες αὐτῷ, καὶ τὸ δέρμα ὑποστρωσάμενοι, καθεύδουσιν ἀναμένοντες δήλωσιν ὀνείρατος. Pauſan. i. 34. ubi et alia multa.

[e] Vid. v. 36. et vi. 19.

[f] Vid. ii. 55.

δίδε ἑωϋτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας, ἐπικαπεσφάξαι μιν κελεύων τῷ νεκρῷ· λέγων τήν τε προτέρω ἑωϋτοῦ συμφορὴν, καὶ ὡς ἐπ' ἐκείνῃ τὸν καθήραντα ἀπολωλεκὼς εἴη· οὐδὲ οἱ εἶη βιώσιμον. Κροῖσος δὲ τούτων ἀκούσας, τόν τε [v] Ἄδρηστον κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηΐῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτὸν, "[v] Ἔχω, "ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην[u], ἐπειδὴ σεωϋτὸν "καταδικάζεις θάνατον· εἷς δὲ ὁ σύ μοι τοῦδε τοῦ κα- "κοῦ [x] αἴτιος, εἰ μὴ ὅσον ἀέκων ἐξεργάσαο, ἀλλὰ θεῶν "κού τις, ὃς μοι καὶ πάλαι προεσήμηνε τὰ μέλλοντα "ἔσεσθαι." Κροῖσος μέν νυν ἔθηψε ὡς εἰκὸς ἦν τὸν ἑωϋτοῦ παῖδα. [v] Ἄδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, ἔτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωϋτοῦ ἀδελφεοῦ γνώμενος, [y] φονεὺς δὲ τοῦ καθήραντος, ἐπεί τε ἡσυχίη τῶν ἀνθρώπων

[u] Iisdem fere verbis Aristoteles Rhet. ii. 3. Καὶ τοῖς ὁμολογοῦσι καὶ μεταμεμελημένοις (πρᾷοι εἰσὶν) ὡς γὰρ ἔχοντες δίκην τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεποιημένοις, παύονται τῆς ὀργῆς. Recte autem Hermogenes περὶ μεθόδου δεινότητος, c. 32. Τῶν δὲ ἀδικημάτων μία παραμυθία, ἡ ὁμολογία καὶ ἀπολογία. Ὅμηρος τοῦτο ἐδίδαξεν, Ἡρόδοτος ἐμιμήσατο. Οἷον, Ἑλένη τῶν κακῶν αἰτία πᾶσι καὶ Ἕλλησι, καὶ βαρβάροις, καὶ μάλιστα τοῖς Τρωσὶν ὁμολογουμένως κακῶς ἐλήλυθε. Τί ἂν ποιεῖ; ὅταν διαλέγηται τῶν Τρώων τινὶ, ἑαυτὴν κατηγορεῖ, καὶ ὁμολογεῖ τὴν ἀδικίαν. Καὶ τοῦτο οὐ μόνον αὐτῇ ἀπολογίας, ἀλλὰ καὶ ἐλέου παραμυθίας αἴτιον γίνεται. Αὐτῷ γοῦν τῷ Πριάμῳ διαλεγομένη, ἑαυτὴν κατηγορεῖ ὥστε τὸν γέροντα, εἰ καὶ ἐμίσει αὐτὴν, μεταβάλλεσθαι καὶ ἐλεεῖν· ἀποκρίνεται δὲ, Οὔτι μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσι. Καὶ παρ' Ἡροδότῳ, ὁ Ἄδρηστός ἐστιν ὑπὸ Κροίσου εὐεργετηθεὶς, καὶ καθαρθεὶς, καὶ φύλαξ τοῦ παιδὸς αὐτοῦ ἀποπεμφθεὶς, εἶτα ἀποκτείνας τὸν Ἄτυν ἐν τῇ θήρᾳ· Καὶ τοῦ Κροίσου βοῶντος, καὶ ἀγανακτοῦντος, ἑαυτὸν προτείνων, κατηγορεῖ ἑαυτοῦ, καὶ ἀποκτεῖναι κελεύει, ὥστε τὸν Κροῖσον παρ' Ἡροδότῳ τὴν τοῦ Πριάμου φωνὴν ἀφίεναι πρὸς τὸν νεανίσκον, εἷς δέ μοι οὐ σὺ τούτων αἴτιος, ἀλλὰ θεῶν κού τις, ὅς μοι προεσήμαινεν ἐν τῷ ὀνείρῳ.

[x] Hom. Il. Γ'. 164. Οὔτι μοι αἰτίη ἐσσὶ, θεοί νύ μοι αἴτιοί εἰσιν.

[y] Laudat ἐπαναλῆψιν hanc Hermogenes tanquam ἦθος βεβαιώσει pulcherrime inservientem. περ. μεθ. δειν. c. 9.

[z] Eadem est verbi forma

ἐγίνετο ὥστε τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι τῶν αὐτὸς [z] ἥκιστα βαρυσυμφορώτατος, ἑωυτὸν ἐπικατασφάζει τῷ τύμβῳ [a]. Adrasti mors.

46 VIII. Κροῖσος δὲ ἐπὶ δύο ἔτεα ἐν πένθεϊ μεγάλῳ καθῆστο, τὸν παῖδα ἐστερημένος· μετὰ δὲ, ἡ Ἀσυάγεος τοῦ Κυαξάρεω ἡγεμονίη καταιρεθεῖσα ὑπὸ Κύρου τοῦ Καμβύσεω, καὶ τὰ τῶν Περσέων πρήγματα αὐξανόμενα, πένθεος μὲν Κροῖσον ἀπέπαυσε· ἐνέβησε δὲ ἐς φροντίδα, εἴ κως δυνατὸν εἴη, πρὶν μεγάλους γενέσθαι τοὺς Πέρσας, καταλαβεῖν αὐτῶν αὐξανομένην τὴν δύναμιν· μετὰ ὧν τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν Ἕλλησι, καὶ τοῦ ἐν Λιβύῃ· διαπέμψας ἄλλους ἄλλῃ, τοὺς μὲν ἐς Δελφοὺς ἰέναι, τοὺς δὲ ἐς [b] Ἄβας τὰς Φωκέων, τοὺς δὲ ἐς [c] Δωδώνην· οἱ δέ τινες ἐπέμποντο ἐς τε [d] Ἀμφιάρεων καὶ πρὸς [b] Τροφώνιον· οἱ δὲ, ἐς [e] Μιλησίης Βραγχίδας· ταῦτα μέν νυν τὰ Ἑλληνικὰ μαντήια, ἐς τὰ ἀπέπεμψε μαθησόμενος Κροῖσος, Λιβύης δὲ [f] πρὸς Ἄμμωνα ἀπέστελλε ἄλλους χρησομένους. Διέπεμπε δὲ σφεώμενος τὸ μαντήιον ὅ, τι φρονέοιεν· ὡς Croesus explorat oracula. Ol. LVIII. 1. A. C. 548.

apud Hom. Il. Χ'. 280. Ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον·—et Od. Γ'. 205.—οὐδέ τις αὐτὸν Ἠϊδέι δμώων.—

[a] Cf. Diod. Excerpt. t. ii. 553.

[b] Vide viii. 134.

[c] Vide ii. 52.

[d] Amphiarai hiſtoria etiam Tyronibus nota. Stemma ita ordinandum eſt. Cretheus, Amythaon (Hom. Od. Λ'. 258.) Antiphates, Oicles, Amphiaraus, ex quo Alcmæon, et Amphilochus, (Od. Ο'. 242.) vid. iii. 91. In Oropo Atticæ colebatur—ἀπέχει δὲ ἐκ τῆς πόλεως σταδίους μάλιστα ἱερὸν τοῦ Ἀμφιαράου—καὶ πρῶτον μὲν καθήρασθαι νομίζουσιν ὅστις ἦλθεν Ἀμφιαράῳ χρησάμενος—προεξιερρασμένων δὲ τούτων, κριὸν θύσαντες αὐτῷ, καὶ τὸ δέρμα ὑποστρωσάμενοι, καθεύδουσιν ἀναμένοντες δήλωσιν ὀνείρατος. Pauſan. i. 34. ubi et alia multa.

[e] Vid. v. 36. et vi. 19.

[f] Vid. ii. 55.

εἰ φρονέοντα τὴν ἀληθείην εὑρεθέη, ἐπείρηταί σφεα δεύτερα πέμπων, εἰ ἐπιχειρέοι ἐπὶ Πέρσας στρατεύεσθαι; Ἐντειλάμενος δὲ τοῖσι Λυδοῖσι τάδε, ἀπέπεμπεν ἐς τὴν 47
Δάφνην τῶν χρηστηρίων· ἀπ' ἧς ἂν ἡμέρης ὁρμηθέωσι ἐκ Σαρδίων, ἀπὸ ταύτης ἡμερολογέοντας τὸν λοιπὸν χρόνον ἑκατοστῇ ἡμέρῃ χρῆσθαι τοῖσι χρηστηρίοισι, ἐπειρωτέοντας ὅ, τι ποιέων τυγχάνοι ὁ Λυδῶν βασιλεὺς Κροῖσος ὁ Ἀλυάττεω· ἅσα δ' ἂν ἕκαστα τῶν χρηστηρίων θεσπίσῃ, συγγραψαμένους ἀναφέρειν παρ' ἑωυτόν· ὅ, τι μέν νυν τὰ λοιπὰ τῶν χρηστηρίων ἐθέσπισε, οὐ λέγεται πρὸς ἀδαμῶν· ἐν δὲ Δελφοῖσι ὡς ἐσῆλθον τάχιστα ἐς τὸ μέγαρον οἱ Λυδοὶ χρησόμενοι τῷ θεῷ, καὶ ἐπειρώτεον τὸ ἐντεταλμένον, ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ λέγει τάδε,

Pythiæ responsum.

"Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν, καὶ μέτρα
"θαλάσσης,
"Καὶ κωφῶν σύνιημι, καὶ οὐ φωνεῦντος ἀκούω.
"Ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης
"Ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσιν,
"Ἧι χαλκὸς μὲν ὑπέστρωται, χαλκὸν δ' ἐπίεσται."

Ταῦτα οἱ Λυδοὶ θεησάμενοι τῆς Πυθίης συγγραψάμενοι, οἴχοντο ἀπιόντες ἐς τὰς Σάρδις· ὡς δὲ καὶ ἄλλοι οἱ σὺν ἐμοὶ πεμφθέντες παρῆσαν φέροντες τοὺς χρησμούς, ἐνθαῦτα ὁ Κροῖσος ἕκαστα ἀναπτύσσων ἐπώρα τῶν συγγραμμάτων· [g] τῶν μὲν δὴ οὐδὲν προσίετό μιν· ὁ δὲ, ὡς τὸ ἐκ Δελφῶν ἤκουσε, αὐτίκα προσηύχετό τε καὶ προσεδέξατο, νομίσας μοῦνον εἶναι μαντήιον τὸ ἐν Δελφοῖσι, ὅτι οἱ ἐξηυρήκεε τὰ αὐτὸς ἐποίησε. Ἐπεί τε γὰρ δὴ διέπεμψε πρὸς τὰ χρηστήρια τοὺς θεοπρόπους, φυλάξας 48

[g] Aristoph. Ἴππ. 359. Τὰ μὲν ἄλλα μ' ἤρισας λέγων· ἓν δ' οὐ προσ- ἰσταί μι Τῶν πραγμάτων.—

τὴν κυρίην τῶν ἡμερέων, ἐμηχανήσατο τοιάδε· ἐπινοήσας τὲ ἦν ἀμήχανον ἐξευρεῖν τε καὶ ἐπιφράσασθαι, χελώνην καὶ ἄρνα κατακόψας ὁμοῦ ἕψεε αὐτὰς ἐν λέβητι χαλκέῳ, χάλκεον ἐπίθημα ἐπιθείς. Τὰ μὲν δὴ ἐκ Δελ-
49 φῶν ἅτε τῷ Κροίσῳ ἐχρήσθη· κατὰ δὲ τὴν Ἀμφιάρεω τὲ μαντηίην ἀπόκρισιν, οὐκ ἔχω εἰπεῖν ὅ, τι τοῖσι Λυδοῖσι ἔχρησε, ποιήσασι ὡυτὰ τὸ ἱρὸν τὰ νομιζόμενα· οὐ γὰρ ὧν ἀδὲ τοῦτο λέγεται ἄλλο γε, ἢ ὅτι καὶ τοῦτο ἐνό-
50 μισε μαντήιον ἀψευδὲς ἐκτῆσθαι[h]. Μετὰ δὲ ταῦτα θυσίῃσι μεγάλῃσι τὸν ἐν Δελφοῖσι θεὸν ἱλάσκετο· κλήνεά τε γὰρ τὰ θύσιμα [i]πάντα τρισχίλια ἔθυσε, κλίνας τε ὑπαργύρους καὶ ἐπαργύρους, καὶ φιάλας χρυσέας, καὶ εἵματα πορφύρεα, καὶ κιθῶνας, [k]νήσους πυρὴν μεγάλην, κατέκαιε, ἐλπίζων τον θεὸν μᾶλλόν τι τούτοισι ἀνακτήσεσθαι· Λυδοῖσί τε πᾶσι προεῖπε θύειν πάντα τινὰ αὐτῶν τούτῳ ὅ, τι ἔχοι ἕκαστος. Ὡς δὲ ἐκ τῆς θυσίης ἐγένετο, κατεχεάμενος χρυσὸν ἄπλετον, ἡμιπλίν- Donaria Delphis a Crœso dicata.
θια ἐξ αὐτοῦ ἐξήλαυνε· ἐπὶ μὲν τὰ μακρότερα, προιέων ἑξαπάλαιστα, ἐπὶ δὲ τὰ βραχύτερα, τριπάλαιστα· ὕψος δὲ, παλαιστιαῖα· [l]ἀριθμὸν δὲ, ἑπτακαίδεκα καὶ ἑκατόν·

[h] Ita ἔκτηται, ii. 95. ἐκτημένων, viii. 140. Hom. Il. Γ. 402.—ὕδ' ὅσα φασὶ Ἴλιον ἐκτῆσθαι εὐναιόμενον πτολίεθρον· ad quem locum Eustathius, τὸ ἐκτῆσθαι, inquit, Ἀττικόν ἐστι καὶ αὐτὸ, καὶ Ἰωνικὸν δὲ ἀποβληθέντος τοῦ συμφώνου τῆς αὐξήσεως· τοιοῦτον καὶ, τὸ ἐβούλευκε, καὶ ἄλλα μυρία· εὕρηται δὲ ἡ λέξις καὶ παρὰ Ἡροδότῳ, ἐκτημένοι εἰπόντι ἀντὶ τοῦ κεκτημένοι.

[i] Verte, *cujusque generis MMM.* monente Casaubono in Strab. p. 70. et in Athen. l. iv. c. 10. sic infra ix. 80.

[k] Potius νήσας ex cod. Rem. Infra ii. 107. περινῆσαι. Hom. Od. Ο'. 321. Πῦρ τ' εὖ νῆσαι·— et Τ'. 63.—ἄλλα δ' ἐπ' αὐτῶν Νῆσαν ξύλα πολλά· — confer etiam Il. Γ'. 137, 279, et 358.

[l] In πλίνθων sive ἡμιπλινθίων numero discrepat ab Herodoto Diodorus, quem vide xvi. 56.

καὶ τȣτέων, ἀπέφθȣ χρυσοῦ τέσσαρα, [m] τρία ἡμιτάλαντα ἕκαστον ἕλκοντα· τὰ δὲ ἄλλα ἡμιπλίνθια, λευκοῦ χρυσοῦ, σταθμὸν διτάλαντα· ἐποιέετο δὲ καὶ λέοντος εἰκόνα χρυσοῦ ἀπέφθȣ, ἕλκȣσαν σταθμὸν τάλαντα δέκα· οὗτος ὁ λέων, ἐπεί τε κατεκαίετο ὁ ἐν Δελφοῖσι νηὸς, κατέπεσε ἀπὸ τῶν ἡμιπλινθίων, ἐπὶ γὰρ τούτοισι ἵδρυτο, καὶ νῦν κεῖται ἐν τῷ [n] Κορινθίων θησαυρῷ, ἕλκων σταθμὸν [o] ἕβδομον ἡμιτάλαντον· ἀπετάκη γὰρ αὐτοῦ τέταρτον ἡμιτάλαντον. Ἐπιτελέσας δὲ ὁ Κροῖσος ταῦτα, 51
ἀπέπεμπε ἐς Δελφοὺς καὶ τάδε ἄλλα ἅμα τοῖσι, κρητῆρας δύο [p] μεγάθεϊ μεγάλȣς, χρύσεον καὶ ἀργύρεον· τῶν ὁ μὲν χρύσεος ἐκέετο ἐπὶ δεξιὰ ἐσιόντι ἐς τὸν νηὸν, ὁ δὲ ἀργύρεος, ἐπ' ἀριστερά· μετεκινήθησαν δὲ καὶ οὗτοι ὑπὸ τὸν νηὸν κατακαέντα, καὶ ὁ μὲν χρύσεος κεῖται ἐν τῷ Κλαζομενίων θησαυρῷ, ἕλκων σταθμὸν ἔννατον ἡμιτάλαντον, καὶ ἔτι δυώδεκα μνέας, ὁ δὲ ἀργύρεος, ἐπὶ τοῦ προνηΐȣ τῆς γωνίης, χωρέων ἀμφορέας ἑξακοσίȣς, ἐπικίρνατο γὰρ ὑπὸ Δελφῶν [q] Θεοφανίοισι· φασὶ δέ μιν Δελφοὶ [r] Θεοδώρȣ τȣ̃ Σαμίȣ ἔργον εἶναι· καὶ ἐγὼ δοκέω,

[m] Φίλον δὲ τοῖς ἀρχαίοις καὶ τὸ ἓν ἥμισυ τάλαντον τρία ἡμιτάλαντα λέγειν, ὡς καὶ τρία ἡμίμναια (Plat. de Legg. vi.) τὴν μίαν ἡμίσειαν μνᾶν. Jul. Pollux ix. vi. 55. Ita Xen. K. A. i. 3. τρία ἡμιδάρεικα· et in Πόροις c. 4. τριακόσια ἡμιμναῖα. Similiter Demosthenes et alii.

[n] Vid. ad 14. huj.

[o] Ἀρχαία δὲ ἡ χρῆσις καὶ ἡ τȣ̃, πέμπτον ἡμιτάλαντον, καὶ τρίτον ἡμιτάλαντον, καὶ ἕβδομον ἡμιτάλαντον· τὸ δ' ἦν τέσσαρα ἥμισυ τάλαντα, ἢ δύο ἥμισυ, ἢ ἓξ ἥμισυ· καὶ ὅλως ὁπόσον φήσει τὶς τὸ ἡμιτάλαντον, τὸν πρὸ αὐτȣ̃ ἀριθμὸν ὁλόκληρον εἶναι δεῖ· ἐὰν μὲν ἕβδομον, τὸ ἕξ· ἂν δὲ τρίτον, τὸ δύο· σὺν δὲ τȣ́τῳ τὸ ἥμισυ πάντως ἐπαριθμεῖν. Jul. Poll. ix. vi. 55.

[p] Μεγάθεϊ μικροί· ii. 74. cf. etiam iv. 52.

[q] Forte Θεοξενίοισι. Valken.

[r] Vid. iii. 41. Plin. Hist. Nat. xxxv. 12. Pausan. iii. 12. et viii. 14.

ὲ γὰρ τὸ σωτυχὸν φαίνεταί μοι ἔργον εἶναι· καὶ ϖίθους τε ἀργυρέους τέσσαρας ἀπέπεμψε, οἳ ἐν τῷ Κορινθίων θησαυρῷ ἑϛᾶσι· καὶ [a]ϖεῤῥαντήρια δύο ἀνέθηκε, χρύσεόν τε καὶ ἀργύρεον, τῶν τῷ χρυσέῳ ἐπιγέγραπται, Λακεδαιμονίων, Φαμένων εἶναι ἀνάθημα, ὲκ ὀρθῶς λέγοντες, ἔϛι γὰρ καὶ τοῦτο Κροίσου· ἐπέγραψε δὲ τῶν τις Δελφῶν, Λακεδαιμονίοισι βυλόμενος χαρίζεσθαι, τὲ ἐπιϛάμενος τὸ ὄνομα, ὲκ ἐπιμνήσεσθαι· ἀλλ' ὁ μὲν ϖᾶις, ὃι οὗ τῆς χειρὸς ῥέει τὸ ὕδωρ, Λακεδαιμονίων ἐϛί· ὲ μέντοι τῶν γε ϖεῤῥαντηρίων ὲδέτερον· ἄλλα τε ἀναθήματα ὲκ ἐπίσημα ϖολλὰ ἀπέπεμψε ἅμα τούτοισι ὁ Κροῖσος, καὶ χεύματα ἀργύρεα κυκλοτερέα· καὶ δὴ καὶ γυναικὸς εἰδωλον χρύσεον τρίπηχυ, τὸ Δελφοὶ τῆς ἀρτοκόπου[t] τῆς Κροίσου εἰκόνα λέγουσι εἶναι· ϖρὸς δὲ, καὶ τῆς ἑωυτοῦ γυναικὸς τὰ ἀπὸ τῆς δειρῆς ἀνέθηκε ὁ
52 Κροῖσος, καὶ τὰς ζώνας[u]. Ταῦτα μὲν ἐς Δελφοὺς ἀπέπεμψε· τῷ δὲ Ἀμφιάρεῳ, ϖυθόμενος αὐτοῦ τήν τε ἀρετὴν & τὴν ϖάθην, ἀνέθηκε σάκος τε χρύσεον ϖᾶν, ὁμοίως καὶ αἰχμὴν στερεὴν ϖᾶσαν χρυσέην, τὸ ξυσὸν τῆσι λόγχῃσι ἐὸν ὁμοίως χρύσεον, τὰ ἔϖι καὶ ἀμφότερα ἐς Amphiaraus.

[a] Περιῤῥαντήρια—*in delubri limine lavacra purgationis*—cujuſmodi etiam lavacra Athenienſes in ipſo fori aditu poſuerunt. Æſch. contra Timarchum et contra Cteſiphontem.

[t] Λέγεται γὰρ Ἀλυάττην τὸν ϖατέρα τῆ Κροίσου διυτέραν ἀγαγέσθαι γυναῖκα, καὶ ϖαῖδας ἐτέρης τρέφειν· ἐπιβυλεύσαν δὲ τῷ Κροίσῳ τὴν ἄνθρωϖον, φάρμακον δῦναι τῇ ἀρτοϖοιῷ, καὶ κιλεῦσαι διαϖλάσασαν ἄρτον ἐξ αὐτῆ τῷ Κροίσῳ ϖαραδῦναι· τὴν δὲ ἀρτοϖοιὸν κρύφα τῷ Κροίσῳ φράσαι, ϖαραδεῖναι δὲ τοῖς ἐκείνης ϖαισὶ τὸν ἄρτον· ἀνθ' ὧν βασιλεύσαντα τὸν Κροῖσον, οἷον ἐϖὶ μάρτυρι τῷ θεῷ, τὴν χάριν ἀμείψασθαι τῆς γυναικὸς, εὖγε ϖοιοῦντα ἐκεῖνον. Plut. de Pyth. orac. 401.

[u] Viſebantur hæc omnia in delubro Delphico Κροίσου ἀναθήματα uſque ad Ol. CVII. 1. eo demum anno a Phayllo, Phocenſium duce, καλακοφθίλα εἰς νόμισμα. Diod. Sic. xvi. 56.

ἐμὲ ἦν κείμενα ἐν Θήβῃσι, καὶ Θηβαίων ἐν τῷ νηῷ τῷ
Ἰσμηνίῳ Ἀπόλλωνος. Τοῖσι δὲ ἄγειν μέλλουσι τῶν Λυ- 53
δῶν ταῦτα τὰ δῶρα ἐς τὰ ἱρὰ, ἐνετέλλετο ὁ Κροῖσος
ἐπειρωτᾶν τὰ χρηστήρια, εἰ στρατεύηται ἐπὶ Πέρσας Κροῖ-
σος, καὶ εἰ ἕνα στρατὸν ἀνδρῶν προσθέοιτο φίλον; ὡς δὲ
ἀπικόμενοι ἐς τὰ ἀπεπέμφθησαν οἱ Λυδοὶ ἀνέθεσαν
τὰ ἀναθήματα, ἐχρέωντο τοῖσι χρηστηρίοισι, λέγοντες·

Crœsi interrogationes.

"Κροῖσος ὁ Λυδῶν τε καὶ ἄλλων ἐθνέων βασιλεὺς, νο-
"μίσας τάδε μαντήια εἶναι μοῦνα ἐν ἀνθρώποισι, ὑμῖν
"τε ἄξια δῶρα ἔδωκε τῶν ἐξευρημάτων, καὶ νῦν ὑμέας
"ἐπειρωτᾷ, εἰ στρατεύηται ἐπὶ Πέρσας, καὶ εἰ ἕνα στρα-
"τὸν ἀνδρῶν προσθέοιτο σύμμαχον;" οἱ μὲν ταῦτα ἐπειρώ-
τεον· τῶν δὲ μαντηίων ἀμφοτέρων ἐς τὠυτὸ αἱ γνῶμαι
συνέδραμον, προλέγουσαι Κροίσῳ, ἢν στρατεύηται ἐπὶ Πέρ-

Oraculorum responsio.

σας, [x]μεγάλην ἀρχὴν μιν καταλύσαι· τοὺς δὲ Ἑλ-
λήνων δυνατωτάτους συνεβούλευόν οἱ ἐξευρόντα φίλους
προσθέσθαι. Ἐπεί τε δὲ ἀνενειχθέντα τὰ θεοπρόπια 54
ἐπύθετο ὁ Κροῖσος, ὑπερήσθη τε τοῖσι χρηστηρίοισι· πάγχυ
τε ἐλπίσας καταλύσειν τὴν Κύρου βασιληίην, πέμψας
αὖτις ἐς Πυθὼ [y], Δελφοὺς δωρέεται, συθμὸν αὐτῶν
τὸ πλῆθος, καθ' ἄνδρα δύο στατῆρσι ἕκαστον χρυσοῦ·

Gratia Crœsi apud Delphos.

Δελφοὶ δὲ ἀντὶ τούτων ἔδοσαν Κροίσῳ καὶ Λυδοῖσι προ-
μαντηίην καὶ ἀτελείην καὶ προεδρίην, καὶ ἐξεῖναι τῷ βου-
λομένῳ αὐτέων γενέσθαι Δελφὸν ἐς τὸν ἀεὶ χρόνον.

[x] Cic. de Divin. ii. 56.

[y] Ita Hom. urbem semper Πυθώ, aut Πυθῶνα dixit, Delphorum non meminit. Vid. Il. Β'. 519. Ι'. 405. Od. Θ'. 80. Λ'. 580. Scholiast. Πυθώ, πόλις Φωκίδος, ἧς οἱ οἰκήτορες Δελφοί. At Pausanias urbem inquit Delphos primitus appellatam fuisse, χρόνῳ δὲ ὕστερον καὶ Πυθὼ τὴν πόλιν, οὐ Δελφοὺς μόνον, ἐκάλεσαν οἱ περιοικοῦντες, καθὰ καὶ Ὁμήρῳ πεποίηται ἐν καταλόγῳ Φωκέων ἐστίν. x. 6. ubi et alia multa de nominis origine, et Delpho Apollinis filio.

55 IX. Δωρησάμενος δὲ τὸς Δελφὸς ὁ Κροῖσος, ἐχρηστηριάζετο τὸ τρίτον· ἐπεί τε γὰρ δὴ παρέλαβε τὴν μαντηΐην ἀληθηΐην, ἐνεφορέετο αὐτοῦ· ἐπειρώτα δὲ τάδε χρηστηριαζόμενος, εἴ οἱ πολυχρόνιος ἔσται ἡ μοναρχίη· ἡ δὲ Πυθίη οἱ χρᾷ τάδε,

Ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
Καὶ τότε Λυδὲ [z] ποδαβρὲ πολυψηφίδα παρ' Ἕρμον
Φεύγειν· μηδὲ μένειν, μήδ' αἰδεῖσθαι κακὸς εἶναι.

Pythiæ reſponſio.

56 Τούτοισι ἐλθοῦσι τοῖσι ἔπεσι ὁ Κροῖσος πολλόν τι μάλιστα πάντων ἥδη, ἐλπίζων ἡμίονον ἁδαμᾶ ἀντ' ἀνδρὸς βασιλεύσειν Μήδων· ἀδ' ὧν αὐτὸς, ἀδὲ οἱ ἐξ αὐτοῦ, παύσεσθαί κοτε τ' ἀρχῆς· μετὰ δὲ ταῦτα ἐφρόντιζε ἰσορέων τοὺς ἂν Ἑλλήνων δυνατωτάτους ἐόντας προσκτήσαιτο φίλους· ἰσορέων δὲ, εὕρισκε Λακεδαιμονίους καὶ Ἀθηναίους προέχοντας· τοὺς μὲν, τὸ Δωρικὸν γένος, τοὺς δὲ, τοῦ Ἰωνικοῦ· ταῦτα γὰρ ἦν τὰ προκεκριμένα ἐόντα τὸ ἀρχαῖον· τὸ μὲν [a], Πελασγικὸν, τὸ δὲ, Ἑλληνικὸν ἔθνος· καὶ τὸ μὲν, [b] ἁδαμῆ κω ἐξεχώρησε· τὸ δὲ, πολυπλάνητον κάρτα· [c] ἐπὶ μὲν γὰρ Δευκαλίωνος βασιλῆος οἴκεε γῆν τὴν Φθιῶτιν· ἐπὶ δὲ Δώρου τοῦ Ἕλληνος, τὴν ὑπὸ τὴν Ὄσσαν τε καὶ τὸν Οὔλυμπον χώρην, καλεομένην δὲ

Lacedæmonii et Athenienſes potentiſſimi Græcorum.

[z] Heſych. ἁβρὰ βαίνων, τρυφερόβιος.

[a] Ἰωνικὸν ſc.

[b] Memineris Herodotum non de univerſa Pelaſgorum gente (quam recte Strab. xiii. 621. πολύπλανον ἔθνος καὶ ταχὺ πρὸς ἱπανασάσεις appellat) ſed de Athenienſibus tantum loqui, qui, ut norunt etiam Tyrones, αὐτοχθόνας ſeſe prædicabant, quod nunquam e regione ſua migraſſent. Vid. imprimis Thucyd. i. 2. Ita etiam ipſi de ſe Athenienſes, infr. vii. 161. ἀρχαιότατον μὲν ἔθνος παρεχόμενοι, μόνοι δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων. In re nota piget plura congerere.

[c] Ἰσορρῖται γὰρ ὁ Δευκαλίων τῆς Φθιώτιδος ἄρξαι, καὶ ἁπλῶς τῆς Θετταλίας. Strab. ix. 432. βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων. Apollod. i. 7.

[d] Ἰσιαιῶτιν· ἐκ δὲ τῆς Ἰσιαιώτιδος ὡς ἐξανέστη[e] ὑπὸ Καδμείων, οἴκεεν ἐν [f] Πίνδῳ, Μακεδνὸν καλεόμενον· ἐνθεῦτεν δὲ αὖτις ἐς τὴν [g] Δρυοπίδα μετέβη, κἀκ τῆς

[d] Verisimile videtur, gente indies crescente, alios in Phthiotide mansisse, ab Hellene Deucalionis filio Hellenas dictos, (cf. Il. B'. 684. et Thucyd. i. 3.) alios sub Doro Hellenis filio (a quo Dores appellati sunt) in Histiæotida transisisse, de qua regione recte Strabo, ἐκαλεῖτο δὲ, ὥς φασι, πρότερον Δωρίς. ix. 437. Causam deinde subjicit cur postea Histiæotis vocaretur: et x. 475. Θετταλίας τῆς Δώριδος μὲν πρότερον, νῦν δὲ τῆς Ἑστιαιώτιδος λεγομένης, ἐξ ἧς ὡρμήθησαν οἱ περὶ τὸν Παρνασσὸν οἰκήσαντες Δωριεῖς. Illud adjiciendum est, Dorienses eo tempore quo Histiæotida incolerent primam cum Hercule Alcmenæ filio necessitudinem intercessisse: etenim (Diodor. iv. 37.) πολέμου συνεστῶτος τοῖς Δωριεῦσι τοῖς Ἑστιαιῶτιν καλουμένην οἰκοῦσιν, ὃν ἐβασίλευεν Αἰγίμιος, (cf. Pind. Pyth. i. 125.) καὶ τοῖς Λαπίθαις τοῖς περὶ τὸν Ὄλυμπον ἱδρυμένοις——ὑπερισχόντων δὲ τῶν Λαπιθῶν πολὺ ταῖς δυνάμεσιν, οἱ Δωριεῖς κατέφυγον ἐπὶ τὸν Ἡρακλέα καὶ σύμμαχον αὐτὸν ἐκάλεσαν ἐπὶ τρίτῳ μέρει τῆς Δωρίδος χώρας καὶ τῆς βασιλείας· πεισαντες δὲ, κοινῇ τὴν ἐπὶ τοὺς Λαπίθας στρατείαν ἐποιήσαντο. Ὁ δὲ Ἡρακλῆς——χειρωσάμενος τοὺς Λαπίθας——ἠνάγκασεν ἐκχωρῆσαι τῆς ἀμφισβητησίμου χώρας· τούτων δὲ πραχθέντων, Αἰγιμίῳ μὲν τὸ ἐπιβάλλον τῆς χώρας τρίτον μέρος παρέθετο, καὶ παρεκελεύσατο φυλάττειν τοῖς ἀφ' ἑαυτοῦ.

[e] Nimirum, post Thebas ab Epigonis captas, οἱ Καδμεῖοι, μεταναστάντες ἐκ τῆς πόλεως ἐπὶ Δωριεῖς ἐστράτευσαν, καὶ μάχῃ νικήσαντες τοὺς ἐγχωρίους, ἐκείνους μὲν ἐξέβαλον ἐκ τῶν πατρίδων——οἱ δ' ἐκ τῶν πατρίδων ἐξελαθέντες ὕστερόν τισι χρόνοις κατῆλθον εἰς τὴν Δωρίδα. Diodor. iv. 67.

[f] Pindum, montem, non urbem Doridis, Μακεδνὸν autem non loci sed ipsius gentis nomen intelligas, ut recte Salmasius de L. H. p. 277. sic viii. 43. Δωρικόν τε καὶ Μακεδνὸν ἔθνος.

[g] Dryopida et Dorida unam esse eandemque regionem ex viii. 31. et 43. abunde patet, neque aliter Strabo viii. 373. ubi Dryopes ἐκ τῆς περὶ τὸν Παρνησὸν Δωρίδος ab Hercule expulsos fuisse memorat. cf. Diodor. iv. 37. Nec vero satis liquet, quid sibi juris in Dryopide Dorienses vindicaverint; etenim diserte Diodorus, de hac ipsa Herculis expeditione agens, (iv. 37.) στρατεύσας, inquit, μετὰ τῶν Μηλιέων, τόν τε βασιλέα τῶν Δρυόπων ἀπέκτεινε, καὶ τὰς ἄλλας ἐκ τῆς χώρας ἐξανάστησας, Μηλιεῦσι παρέδωκε τὴν χώραν. At crederem tamen Dryopida quoque Ægimio, iisdem sc. conditionibus, quibus et regionem a Lapithis ademptam, Herculem concessisse; (vide su-

Δρυοπίδες ἔτως ἐς Πελοπόννησον ἐλθὸν, Δωρικὸν ἐ-
57 κλήθη. Ἥν τινα δὲ γλῶσαν ἵεσαν οἱ Πελασγοὶ, οὐκ
ἔχω ἀτρεκέως εἰπεῖν· εἰ δὲ χρεών ἐστι τεκμαιρόμενον λέ-
γειν τοῖσι νῦν ἔτι ἐοῦσι Πελασγῶν, τῶν ὑπὲρ [h]Τυρσηνῶν

pra not. d.) et iſtiuſmodi aliquid innuere videntur Diodorus (iv. 58.) et Strabo (ix. 427.) Id certe conſtat, poſt Herculis mortem, Ægimium, jam tum Doride potitum, Heraclidas in regni ſocietatem adſciviſſe— Ἄλλον γὰρ εἰσεποιήσατο τὸν πρεσβύτατον τῶν ἐκείνου παίδων, καὶ διεδέξατο ἐκεῖνος τὴν ἀρχὴν, καὶ οἱ ἀπόγονοι· ἐντεῦθεν ὁρμηθεῖσι τοῖς Ἡρακλείδαις ὑπῆρξεν ἡ εἰς Πελοπόννησον κάθοδος. Strab. ix. 427.— Inde Heraclidæ Dorienſes appellati, ipſa autem Doris μητρόπολις habita eſt Δωριέων τῶν ἐν Πελοποννήσῳ· infr. viii. 31. cf. Thucyd. i. 107. iii. 92. et Strab. ix. 427.

[h] Κρηστῶνα—Cortonam urbem Etruriæ intelligit Dionyſius Halic. A. R. i. 29. minus, ut videtur, recte; neque enim Herodoto ita cognita erat Cortona, ut ad eam in hac quæſtione provocaret, neque ipſa, quibus uſus eſt Dionyſius, argumenta ad ſententiam ejus confirmandam multum valent. Refert nimirum Pelaſgos, a Deucalione pulſos, Theſſalia ceſſiſſe, et primo in Epirum, deinde in Italiam tranſiiſſe; ibi, quod multum cum Tyrrhenis verſarentur, ipſos quoque Tyrrhenos appellatos fuiſſe; id iis, etiam in Græciam reverſis, nomen manſiſſe: quæ omnia ſi vera ſint, et ſunt opinor vera, quid vetat tamen aliquos ex Pelaſgis hiſce Tyrrhenis in Thracia habitaſſe, et alios quoque Pelaſgos, ſupra eos, ut ait Herod. in Creſtonide ſedes ſuas habuiſſe. Non itaque ad mentem Dionyſii Herodotus intelligendus eſt, ſed rem ſe ita habuiſſe ex Herodoti auctoritate ſtatuendum. Videtur autem Herodoto fidem adſtruere Thucydides iv. 109. ἐν τῇ Ἀκτῇ καλουμένῃ (regione ſc. circa Atho montem) varias incolarum gentes dinumerans. Καί τι καὶ Χαλκιδικὸν ἔνι βραχὺ, τὸ δὲ πλεῖστον, Πελασγικὸν, τῶν καὶ Λήμνου ποτε καὶ Ἀθήνας Τυρσηνῶν οἰκησάντων, καὶ Βισαλτικὸν, καὶ Κρηστωνικὸν, καὶ Ἠδωνές. Vix dubitari poteſt Thucydidem de gentibus finitimis loqui, e quibus mixta multitudo ἐς τὴν Ἀκτὴν confluxerat. Porro id quoque notandum eſt, Tyrrhenos Pelaſgos fuiſſe eos, qui σύνοικοι ἐγένοντο Ἀθηναίοισι, (a Samothracia ſc. in Atticam tranſgreſſi, ii. 51.) poſtea ex Attica pulſos Lemnum tenuiſſe, vi. 137. etiam in ora Propontidis Placiam et Scylacem condidiſſe.

Κρηστῶνα πόλιν οἰκεόντων, οἳ [i] ὅμουροί κοτε ἦσαν τοῖσι νῦν Δωριεῦσι καλεομένοισι· (οἴκεον δὲ τηνικαῦτα γῆν τὴν νῦν Θεσσαλιῶτιν καλεομένην·) καὶ τὴν Πλακίην τε καὶ Σκυλάκην Πελασγῶν οἰκησάντων ἐν Ἑλλησπόντῳ, οἳ σύνοικοι ἐγένοντο Ἀθηναίοισι, καὶ ὅσα ἄλλα Πελασγικὰ ἐόντα πολίσματα τὸ οὔνομα μετέβαλε· εἰ τούτοισι τεκμαιρόμενον δεῖ λέγειν, ἦσαν οἱ Πελασγοὶ [k] βάρβαρον γλῶσσαν ἱέντες. Εἰ τοίνυν ἦν καὶ πᾶν τοιοῦτον τὸ Πελασγικὸν, τὸ Ἀττικὸν ἔθνος ἐὸν Πελασγικὸν, ἅμα τῇ μεταβολῇ τῇ ἐς Ἕλληνας, καὶ τὴν γλῶσσαν μετέμαθε· καὶ γὰρ δὴ οὔτε οἱ Κρηστωνιῆται οὐδαμοῖσι τῶν νῦν σφεας περιοικεόντων εἰσὶν ὁμόγλωσσοι, οὔτε οἱ Πλακιηνοὶ, σφίσι δὲ ὁμόγλωσσοι· δηλοῦσί τε ὅτι τὸν εἰνείκαντο γλώσσης χαρακτῆρα μεταβαίνοντες ἐς ταῦτα τὰ χωρία, τοῦτον ἔχουσιν ἐν φυλακῇ. Τὸ δὲ Ἑλληνικὸν γλώσσῃ μὲν, 58
ἐπεί τε ἐγένετο, ἀείκοτε τῇ αὐτῇ διαχρᾶται, ὡς ἐμοὶ καταφαίνεται εἶναι, ἀποσχισθὲν μέντοι ἀπὸ τοῦ Πελασγικοῦ, ἐὸν ἀσθενὲς, ἀπὸ σμικροῦ τέο τὴν ἀρχὴν ὁρμεώμενον, αὔξηται ἐς πλῆθος τῶν ἐθνέων πολλῶν, μάλιστα προσκεχωρηκότων αὐτῷ καὶ ἄλλων ἐθνέων βαρβάρων συχνῶν· πρὸς δὴ ὦν, ἐμοί τε δοκέει οὐδὲ τὸ Πελασγικὸν ἔθνος, ἐὸν βάρβαρον, οὐδαμᾶ μεγάλως αὐξηθῆναι.

Attici Pelasgi.

ellenicorum lingua.

X. Τούτων δὴ ὦν τῶν ἐθνέων τὸ μὲν Ἀττικὸν κατ- 59

[i] Ὅμουροι Δωριεῦσι—quo sc. tempore Pelasgiotida Thessaliæ obtinebant—Doriensibus igitur Histiæotida incolentibus finitimi. Postea bello victi Pelasgiotida Lapithis concesserunt. Strab. ix. 443.

[k] Hom. Il. Γ'. 152.—ὄπα λειριόεσσαν ἱεῖσι. Ibid. 221.—ὄπα τε μεγάλην ἐκ στήθεος ἵει. Od. Μ'. 192.—ἱεῖσαι ὄπα καλλίμον.—

ἐχόμενόν τε καὶ διεσπασμένον ἐπιωθάνετο ὁ Κροῖσος ὑπὸ Πεισιστράτου τοῦ Ἱπποκράτεος, τύραννον τότε χρόνον Ἀθηναίων. Ἱπποκράτεϊ γὰρ, ἑόντι ἰδιώτῃ, καὶ θεωρέοντι τὰ Ὀλύμπια, τέρας ἐγένετο μέγα· θύσαντος γὰρ αὐτοῦ τὰ ἱρὰ, οἱ λέβητες ἐπιζέοντες, καὶ κρεῶν τε ἐόντες ἔμπλεοι καὶ ὕδατος, ἄνευ πυρὸς ἔζεσαν, καὶ ὑπερέβαλον. Χίλων δὲ ὁ Λακεδαιμόνιος συμβαλὼν, καὶ θεσπίσμους τὸ τέρας, συνεβούλευεν Ἱπποκράτεϊ, πρῶτα μὲν, γυναῖκα τεκνοποιὸν μὴ ἄγεσθαι ἐς τὰ οἰκία· εἰ δὲ τυγχάνει ἔχων, δεύτερα τὴν γυναῖκα ἐκπέμπειν· καὶ εἴ τίς οἱ τυγχάνει ἐὼν παῖς, τοῦτον ἀπείπασθαι· ἔκων ταῦτα παραινέσαντος Χίλωνος πείθεσθαι θέλειν τὸν Ἱπποκράτεα· γενέσθαι οἱ μετὰ ταῦτα τὸν Πεισίστρατον τοῦτον[1], ὃς, στασιαζόντων τῶν παράλων καὶ τῶν ἐκ τοῦ πεδίου Ἀθηναίων, καὶ τῶν μὲν προεστεῶτος Μεγακλέος τοῦ Ἀλκμαίωνος, τῶν δὲ ἐκ τοῦ πεδίου Λυκούργου Ἀρισταίδεω, [m]καταφρονήσας τὴν τυραννίδα, ἤγειρε τρίτην στάσιν· συλλέξας δὲ στασιώτας, καὶ τῷ λόγῳ τῶν [n]ὑπεραιρίων προστὰς, μηχανᾶται τοιάδε· τραυματίσας ἑωυτὸν

Hippocrates Pisistrati pater.

A. C. 560. Megacles, Lycurgus, et Pisistratus factiosi.

[1] De Pisistrato cf. omnino Plutarchum in Solone.

[m] Vertunt Lexicographi, καταφρονεῖν, *affectare, meditari*, hoc sc. loco freti. At vereor, ut ista vocis significatio apud scriptores veteres usquam reperiatur. Apud Herodotum certe i. 66. et viii. 10. sicut et apud Thucyd. ii. 62. valet omnino, *alios contemptui habere*. Fortasse igitur rescribendum est καὶ φρονήσας. Valken. At prodiret certe salebrosa oratio et fere solœca. In cæteris Valkenario assentior.

[n] Iidem Plutarcho Διάκριοι· ἐν οἷς, inquit, ἦν ὁ θητικὸς ὄχλος, καὶ μάλιστα τοῖς πλουσίοις ἀχθόμενος. Solon. p. 94. siquidem recte Aristoteles, *in omnibus fere civitatibus*, inquit, οἱ προστάται τῷ δήμῳ ὅτι πολεμικοὶ γένοιντο τυραννίδι ἐπετίθεντο· πάντες δὲ τοῦτο ἴδρυν ὑπὸ τοῦ δήμου πιστευθέντες· ἡ δὲ πίστις ἦν ἡ ἀπέχθεια ἡ πρὸς τοὺς πλουσίους· οἷον Ἀθήνησι Πεισίστρατος στασιάσας πρὸς τοὺς Πεδιακούς. Pol. v. 5.

τε καὶ ἡμιόνους, ἤλασεν ἐς τὴν ἀγορὴν τὸ ζεῦγος, ὡς ἐκπεφευγὼς τοὺς ἐχθρούς, οἳ μιν ἐλαύνοντα ἐς ἀγρὸν ἠθέλησαν ἀπολέσαι· δηθὲν δὲ ἐδέετό τε τοῦ δήμου Φυλακῆς τινος πρὸς αὐτοῦ κυρῆσαι, πρότερον δοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, Νίσαιάν τε ἑλὼν, καὶ ἄλλα ἀποδεξάμενος μεγάλα ἔργα· ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων, ἐξαπατηθεὶς ἔδωκέ οἱ τῶν ἀστῶν καταλέξας ἄνδρας τούτους, οἳ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτου, κορυνηφόροι δέ· ξύλων γὰρ κορύνας ἔχοντες εἵποντό οἱ ὄπισθεν· συνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ ἔσχον τὴν ἀκρόπολιν· ἔνθα δὴ ὁ Πεισίστρατος ἦρχεν Ἀθηναίων, οὔτε τιμὰς τὰς ἐούσας συνταράξας, οὔτε θέσμια μεταλλάξας· ἐπί τε τοῖσι κατεστεῶσι [a] ἔνεμε τὴν πόλιν κοσμέων καλῶς τε καὶ εὖ· μετὰ δὲ οὐ πολλὸν χρόνον τοὺς τὰ Μεγακλέος φρονήσαντες οἵ τε τοῦ Μεγακλέος φασιῶται καὶ οἱ τοῦ Λυκούργου ἐξελαύνουσί μιν. Οὕτω μὲν Πεισίστρατος ἔσχε τὸ πρῶτον Ἀθήνας, καὶ τὴν τυραννίδα οὔκω κάρτα ἐρριζωμένην ἔχων, ἀπέβαλεν· οἱ δὲ ἐξελάσαντες Πεισίστρατον, αὖτις ἐκ νέης ἐπ' ἀλλήλοισι ἐστασίασαν· περιελαυνόμενος δὲ τῇ στάσει ὁ Μεγακλέης, ἐπεκηρυκεύετο Πεισιστράτῳ, εἰ βούλοιτό οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα ἐπὶ τῇ τυραννίδι· ἐνδεξαμένου δὲ τὸν λόγον καὶ ὁμολογήσαντος ἐπὶ τούτοισι Πεισιστράτου, μηχανῶνται δὴ ἐπὶ τῇ κατόδῳ πρῆγμα εὐηθέστατον, ὡς ἐγὼ εὑρίσκω, μακρῷ· ἐπεὶ γε ἀπεκρίθη ἐκ παλαιτέρου τοῦ βαρβαρικοῦ ἔθνεος τὸ Ἑλληνικόν, [p] ἐὸν καὶ δεξιώτερον, καὶ εὐηθίης ἠλιθίου ἀπηλλαγμένον μᾶλλον· εἰ καὶ τότε γε

Pisistratus tyrannidem occupat.

Ejectus recipit eam Megaclis auxilio. A. C. 557.

[a] Ἔμιν. Ed. Ald. et Paris. Codd. duo, probante Reiskio.

[p] Similia fere habes apud Aristot. Pol. i. 2. et iii. 14.

ὅτοι ἐν Ἀθηναίοισι τοῖσι πρώτοισι [q] λεγομένοισιν εἶναι Ἑλλήνων σοφίην, μηχανῶν τοιάδε. Ἐν τῷ δήμῳ τῷ Παιανιέϊ ἦν γυνὴ τῇ οὔνομα ἦν Φύη [r], μέγεθος ἀπὸ τεσσάρων πηχέων ἀπολείπουσα τρεῖς δακτύλους, καὶ ἄλλως εὐειδής· ταύτην τὴν γυναῖκα σκευάσαντες πανοπλίῃ, ἐς ἅρμα ἐσβιβάσαντες καὶ προδέξαντες σχῆμα οἷόν τι ἔμελλεν εὐπρεπέστατον φανέεσθαι ἔχουσα, ἤλαυνον ἐς τὸ ἄστυ, προδρόμους κήρυκας προπέμψαντες, οἳ τὰ ἐντεταλμένα ἠγόρευον ἐς τὸ ἄστυ ἀπικόμενοι, λέγοντες τοιάδε· "Ὦ Ἀθηναῖοι, δέκεσθε ἀγαθῷ νόῳ Πεισίστρατον, "τὸν αὐτὴ ἡ Ἀθηναίη τιμήσασα ἀνθρώπων μάλιστα, "κατάγει ἐς τὴν ἑωϋτῆς ἀκρόπολιν." Οἱ μὲν δὴ ταῦτα διαφοιτέοντες ἔλεγον· αὐτίκα δὲ ἔς τε τοὺς δήμους φάτις ἀπίκετο, ὡς Ἀθηναίη Πεισίστρατον κατάγει· καὶ ἐν τῷ ἄστεϊ πειθόμενοι τὴν γυναῖκα εἶναι αὐτὴν τὴν θεὸν, προσεύχοντό τε τὴν ἄνθρωπον, καὶ ἐδέκοντο τὸν Πεισίστρατον.

61 Ἀπολαβὼν δὲ τὴν τυραννίδα τρόπῳ τῷ εἰρημένῳ ὁ Πεισίστρατος, κατὰ τὴν ὁμολογίην τὴν πρὸς Μεγακλέα γενομένην, γαμέει τοῦ Μεγακλέους τὴν θυγατέρα· οἷα δὲ παίδων τέ οἱ ὑπαρχόντων νεηνιέων, καὶ λεγομένων [s] ἐναγέων εἶναι τῶν Ἀλκμαιωνιδέων, οὐ βουλόμενός οἱ γενέσθαι ἐκ τῆς νεογάμου γυναικὸς τέκνα, ἐμίσγετό οἱ οὐ κατὰ νόμον· τὰ μέν νυν πρῶτα ἔκρυπτε ταῦτα ἡ γυνή, μετὰ δὲ, εἴτε ἱστορεύσῃ, εἴτε καὶ οὐ, φράζει τῇ ἑωϋτῆς μητρί, ἡ δὲ τῷ ἀνδρί· τὸν δὲ δεινόν τι ἔσχεν, ἀτιμάζεσθαι πρὸς

[q] Συνέσει γὰρ οἰκείᾳ τὸ Ἑλληνικὸν ὑπερεβάλλοντο Ἀθηναῖοι. Pausan. iv. 35.

[r] Patrem habuit Socratem, Στεφανόπωλις δὲ ἦν, καὶ αὐτὴν ἐξέδωκε πρὸς γάμου κοινωνίαν ὁ Πεισίστρατος Ἱππάρχῳ τῷ υἱῷ. Clidemus apud Athen. xiii. 609. cf. Hermog. de Invent. i. 3.

[s] Vid. v. 70.

A. C. 556. Iterum expulsus. Πεισιστράτῳ· ὀργῇ δὲ ὡς εἶχε, καταλλάσσετο τὴν ἔχθρην τοῖσι κατιοῦσι· μαθὼν δὲ ὁ Πεισίστρατος τὰ ποιεύμενα ἐπ' ἑωυτῷ, ἀπαλλάσσετο ἐκ τῆς χώρης τοπαρέμπαν· ἀπικόμενος δὲ ἐς Ἐρέτριαν, ἐβουλεύετο ἅμα τοῖσι παισίν. Ἱππίεω δὲ [t] γνώμην νικήσαντος ἀνακτᾶσθαι ὀπίσω τὴν τυραννίδα, ἐνθαῦτα ἤγειρον δωτίνας ἐκ τῶν πολίων, αἱ τινές σφι [u] προηδέατό κού τι· πολλῶν δὲ μεγάλα παραχόντων χρήματα, Θηβαῖοι ὑπερεβάλοντο τῇ δόσει τῶν χρημάτων· μετὰ δὲ, ὡ πολλῷ λόγῳ εἰπεῖν, χρόνος διέφυ, καὶ πάντα σφι ἐξήρτυτο ἐς τὴν κάτοδον· καὶ γὰρ Ἀργεῖοι μισθωτοὶ ἀπίκοντο ἐκ Πελοποννήσου, καὶ Νάξιός σφι ἀνὴρ ἀπιγμένος ἐθελοντὴς, τῷ οὔνομα ἦν Λύγδαμις, προθυμίῃ πλείστῃ παρείχετο, κομίσας καὶ χρήματα καὶ ἄνδρας. Ἐξ Ἐρετρίης δὲ ὁρμηθέντες, 62
A. C. 545. ἕκτῳ ἐνδεκάτῳ ἔτεος ἀπίκοντο ὀπίσω, καὶ πρῶτον τῆς Ἀττικῆς ἔσχον Μαραθῶνα· ἐν δὲ τούτῳ τῷ χώρῳ σφι στρατοπεδευομένοισιν, οἵ τε ἐκ τοῦ ἄστεος στασιῶται ἀπίκοντο, ἄλλοι τε ἐκ τῶν δήμων προσέρρεον, οἷσιν ἡ τυραννὶς πρὸ ἐλευθερίης ἦν ἀσπαστότερον. Οὗτοι μὲν δὴ συνηλίζοντο, Ἀθηναίων δὲ οἱ ἐκ τοῦ ἄστεος, ἕως μὲν Πεισίστρατος τὰ χρήματα ἤγειρε, καὶ μεταῦτις ὡς ἔσχε Μαραθῶνα, λόγον οὐδένα εἶχον· ἐπεί τε δὲ ἐπύθοντο ἐκ τοῦ Μαραθῶνος αὐτὸν πορεύεσθαι ἐπὶ τὸ ἄστυ, ἔτω δὴ βοηθέοντι ἐπ' αὐτόν· καὶ ἔστι τε πανστρατιῇ ἦσαν ἐπὶ τοὺς καλιόντας, καὶ οἱ ἀμφὶ Πεισίστρατον, ὡς ὁρμηθέντες ἐκ Μαραθῶνος ἦσαν ἐπὶ τὸ ἄστυ ἐς τωὐτὸ συνιόντες, ἀπικνέονται ἐπὶ 63 64

[t] Aristoph. Νιφ. 431. Ἐν τῷ δήμῳ γνώμας εὐεὶς νικήσει πλείονας ἢ σύ.

[u] iii. 140. καὶ τίς ἐστι Ἑλλήνων εὐεργέτης, ᾧ ἐγὼ προαιδεῦμαι, πλὴν μὲν τὴν ἀρχὴν ἔχων;

Παλληνίδες[x] Ἀθηναίης ἱρὸν, καὶ ἀντία ἔθεντο τὰ ὅπλα· ἐνθαῦτα θείῃ πομπῇ χρεώμενος παρίσταται Πεισιστράτῳ Ἀμφίλυτος ὁ Ἀκαρνὰν[y], χρησμολόγος ἀνὴρ, ὃς οἱ προσιὼν χρᾷ ἐν ἑξαμέτρῳ τόνῳ, τάδε λέγων·

Ἐρρίπται δ' ὁ βόλος, τὸ δὲ δίκτυον ἐκπεπέτασται·
Θοῦνοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός.

63 Ὁ μὲν δὴ οἱ ἐνθεάζων χρᾷ τάδε· Πεισίστρατος δὲ, συλλαβὼν τὸ χρηστήριον, καὶ φὰς δέκεσθαι τὸ χρηθὲν, ἐπῆγε τὴν στρατίην. Ἀθηναῖοι δὲ οἱ ἐκ τοῦ ἄστεος πρὸς ἄριστον τετραμμένοι ἦσαν δὴ τηνικαῦτα· καὶ μετὰ τὸ ἄριστον μετεξέτεροι αὐτῶν, οἱ μὲν, πρὸς κύβους, οἱ δὲ, πρὸς ὕπνον· οἱ δὲ ἀμφὶ Πεισίστρατον, ἐσπεσόντες, τοὺς Ἀθηναίους τρέπουσι· φυγόντων δὲ τούτων, βουλὴν ἐνθαῦτα σοφωτάτην Πεισίστρατος ἐπιτεχνᾶται, ὅκως μήτε ἀναθαρσήσουσι ἔτι οἱ Ἀθηναῖοι, διεσκεδασμένοι τε εἶεν· ἀναβιβάσας τοὺς παῖδας ἐπὶ ἵππους, προέπεμπε, οἱ δὲ καταλαμβάνοντες τοὺς φεύγοντας, ἔλεγον τὰ ἐντεταλμένα ὑπὸ Πεισιστράτου, θαρσέειν τε κελεύοντες, καὶ
64 ἀπιέναι ἕκαστος ἐπὶ τὰ ἑωυτοῦ. Πειθομένων δὲ τῶν Ἀθηναίων, οὕτω δὴ Πεισίστρατος τρίτον ἀπὸ Ἀθηνέων, ἐρρίζωσε τὴν τυραννίδα, ἐπικούροισί τε πολλοῖσι, καὶ χρημάτων συνόδοισι· τῶν μὲν, αὐτόθεν, τῶν δὲ, ἀπὸ Στρυμόνος ποταμοῦ σωισάντων· ὁμήρους τε τῶν περιοικεόντων Ἀθηναίων καὶ μὴ αὐτίκα φυγόντων παῖδας λαβὼν,

Tertio tyrannidem occupat.

[x] Παλλήνη, δῆμος τῆς Ἀντιοχίδος φυλῆς. Harpocr. Δίας πάροιθε παρθένου Παλληνίδος. Eurip. Heraclid. 1031. et 849. Παλληνίδος γὰρ σεμνὸν ἐκπέρων πάγον Δίας Ἀθάνας.—

[y] Ἀχαρνεύς· ex conj. Valken. siquidem Amphilytus iste a Socrate in Platon. Theag. diserte dicitur ὁ ἡμιθαπὸς Ἀμφίλυτος.

καὶ κατεστήσας ἐς Νάξον· (καὶ γὰρ ταύτῃ ὁ Πεισίστρατος κατεστρέψατο πολέμῳ, καὶ ἐπέτρεψε Λυγδάμι· πρός γε ἔτι τούτοισι, τὴν νῆσον Δῆλον [2]καθήρας ἐκ τῶν λογίων, καθήρας δὲ ὧδε· ἐπ' ὅσον ἔποψις τὸ ἱρὸ εἶχεν, ἐκ τούτου τοῦ χώρου πάντοσε ἐξορύξας τοὺς νεκροὺς, μετεφόρεεν ἐς ἄλλον χῶρον τῆς Δήλου·) καὶ Πεισίστρατος μὲν ἐτυράννευσεν Ἀθηναίων, Ἀθηναίων δὲ οἱ μὲν ἐν τῇ μάχῃ ἐπεπτώκεσαν, οἱ δὲ αὐτῶν μετὰ Ἀλκμαιωνίδεω ἔφευγον ἐκ τῆς οἰκηίης.

Ol. LVIII. 1. A. C. 548. Lacedæmoniorum bellum contra Tegeatas.

XI. Τοὺς μέν νυν Ἀθηναίους τοιαῦτα τὸν χρόνον 65
τοῦτον ἐπωθάνετο ὁ Κροῖσος κατέχοντα, τοὺς δὲ Λακεδαιμονίους ἐκ κακῶν τε μεγάλων πεφευγότας, καὶ ἐόντας ἤδη τῷ πολέμῳ κατυπερτέρους Τεγεητέων. Ἐπὶ γὰρ Λέοντος [a] βασιλεύοντος καὶ Ἡγησικλέος ἐν Σπάρτῃ, τὰς ἄλλας πολέμους εὐτυχέοντες οἱ Λακεδαιμόνιοι, πρὸς Τεγεήτας μόνους προσέπταιον. Τὸ δὲ ἔτι πρότερον τούτων, καὶ κακονομώτατοι ἦσαν σχεδὸν πάντων Ἑλλήνων, κατά τε σφέας αὐτοὺς, καὶ ξείνοισιν ἀπρόσμικτοι· μετέβαλον δὲ ὧδε ἐς εὐνομίην. Λυκοῦργος [b] τῶν Σπαρτιητέων δεκίμου ἀνδρὸς ἐλθόντος ἐς Δελφοὺς ἐπὶ τὸ χρηστήριον, ὡς ἐσῆιεν ἐς τὸ μέγαρον, εὐθὺς ἡ Πυθίη λέγει τάδε,

Lycurgus. A. C. 884.

Ἧκεις, ὦ Λυκόοργε, ἐμὸν πρυτί πίονα νηὸν,
Ζηνὶ φίλος, καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι.
Δίζω ἢ σε θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον [c].

[2] Thucyd. iii. 104. ἐκάθηρε μὲν γὰρ καὶ Πεισίστρατος ὁ τύραννος πρότερον αὐτὴν, οὐχ ἅπασαν, ἀλλ' ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου.

[a] Vid. Pausan. iii. 3.

[b] Consulatur in universum Lycurgi vita a Plutarcho conscripta.

[c] Ita de Lycurgo Plato de Legg. iii. 691. φύσις τὶς ἀνθρωπίνη μεμιγμένη θείᾳ τινὶ δυνάμει.

Ἀλλ' ἔτι κ᾽ μᾶλλον θεὸν ἕλπομαι, ὦ Λυκόοργε.
Οἱ μὲν δή τινες πρὸς τάτοισι λέγουσι καὶ φράσαι αὐτῷ[d] τὴν Πυθίην τὸν νῦν κατεστεῶτα κόσμον Σπαρτιήτησιν. Ὡς δ᾽ αὐτοὶ Λακεδαιμόνιοι λέγουσι, Λυκοῦργον ἐπιτροπεύσαντα[e] Λεωβώτεω, ἀδελφιδέος μὲν ἑωυτοῦ, βασιλεύ-

[d] Καὶ ὁ Μίνως παρὰ τοῖς Κρησὶν, Ἐνίωρος βασίλευε Διὸς μεγάλε ὀαριστὴς, δι' ἐννέα ἐτῶν, ὥς φησι Πλάτων, ἀναβαίνων ἐπὶ τὸ ἄντρον τοῦ Διὸς, κ᾽ παρ' ἐκείνε τὰ προστάγματα λαμβάνων, κ᾽ διακομίζων εἰς τὸς ἀνθρώπες. Τὰ δ' ὅμοια ἐποίει κ᾽ Λυκοῦργος ὁ ζηλωτὴς αὐτοῦ· πυκνὰ γὰρ ὡς ἔοικεν ἀποδημῶν ἐπυνθάνετο παρὰ τῆς Πυθίας ἃ προσήκει παραγγέλλειν τοῖς Λακεδαιμονίοις. Strabo. xvi. 762. cf. Platonem de Legg. ſub initio.

[e] Locum gravi vitio laborantem (et quidem antiquiſſimo, eadem enim in ſuis Herodoti codicibus habuit Pauſanias, quem vide iii. 2.) varie tractarunt viri eruditi. Leobotes, ſive Labotas, ex Euryſthenidarum gente oriundus, filius fratris Lycurgi, ex altera ſc. Proclidarum gente oriundi, certe non fuit: et conſtat omnino, Polydectem Lycurgi fratrem, Charilaum autem Polydectæ filium fuiſſe, Lycurgum vero Charilai tutelam adminiſtraſſe. At vix credibile eſt, Herodotum, qui utriuſque familiæ ſeriem tam accurate recenſuit, vii. 204. et viii. 131. in re tam certa errare potuiſſe. Itaque alii pro Λιωβώτεω audacter reponunt Χαριλάε. Marſhamus Can. Chron. p. 428. mutato tantum verborum ordine, reponit, ἐπιτροπεύσαντα ἀδελφιδέος μὲν ἑωυτοῦ, βασιλεύοντος δὲ Σπαρτιητέων Λεωβώτεω. Non multum abeſt, quod Pauſanias (loc. ſup. citat.) Lycurgum ait Lacedæmoniis leges tuliſſe ἐπὶ τῆς Ἀγησιλάε βασιλείας. Etenim in Spartanorum Regum διαδοχαῖς inter ſe comparandis dubia ſunt multa et obſcura; ita ut vix fas ſit argumentis ex iſta comparatione ductis ſolide confidere. Porro ipſe nobis auctor eſt Pauſanias (loc. citat.) Labotam ſenem admodum obiiſſe; filium ejus Doryſſum, et nepotem Ageſilaum brevi tantum ſpatio regnum obtinuiſſe. Non multum igitur intererit, ſeu extremis Labotæ temporibus, ſeu ſub Ageſilao rege leges Lycurgi latas fuiſſe dixeris; non enim tantam iſtam τῆς πολιτείας immutationem, intra unius anni ſpatium confici potuiſſe arbitrandum eſt. Et fortaſſe etiam non ita intelligendus eſt Herodotus, tanquam ſi leges Lycurgi ſub rege Labota promulgatas fuiſſe diſerte ſcripſiſſet. Satis erit, ſi ad regnum Labotæ pertineat tutela a Lycurgo adminiſtrata, quam deinde excepit iter illud Creti-

οντος δὲ Σπαρτιητέων, ἐκ [f] Κρήτης ἀγαγέσθαι ταῦτα· ὡς γὰρ ἐπετρόπευσε, τάχιστα μετέστησε τὰ νόμιμα πάντα, καὶ ἐφύλαξε [g] ταῦτα μὴ παραβαίνειν· μετὰ δὲ, τὰ ἐς πόλεμον ἔχοντα, [h] ἐνωμοτίας, καὶ τριηκάδας, καὶ συσσίτια· πρός τε τούτοισι, [i] τοὺς ἐφόρους καὶ γέροντας ἔστησε Λυκοῦρ-

cum, de quo vid. not. ſequentem.

[f] Cf. omnino Strab. x. 482. et Ariſtot. Pol. ii. 9. Luculenta eſt apud utrumque ſcriptorem, apud Ariſtotelem præſertim, Cretenſium et Spartanarum legum comparatio. vid. et Plut. Lyc. p. 41. Aliter autem Polyb. vi. 45.

[g] Ἔστι δέ τις καὶ ἄλλος ὑπὲρ τῶν Σαβίνων—λεγόμενος λόγος· ὡς Λακεδαιμονίων ἐποικησάντων αὐτοῖς, καθ' ὃν χρόνον—Λυκοῦργος ἔθετο τῇ Σπάρτῃ τοὺς νόμους· ἀχθομένους γάρ τινας τῇ σκληρότητι τῆς νομοθεσίας, καὶ διαστάντας ἀπὸ τῶν ἑτέρων οἴχεσθαι τὸ παράπαν ἐκ τῆς πόλεως· ἔπειτα διὰ πελάγους πολλοῦ φερομένους—καταχθέντας δὲ τῆς Ἰταλίας περὶ τὰ Πωμεντῖνα καλούμενα πεδία—ἐκεῖθεν δ' ὁρμηθέντας—συνοίκους τοῖς Σαβίνοις γενέσθαι, καὶ διὰ τοῦτο πολλὰ τῶν νομίμων εἶναι Λακωνικὰ, μάλιστα δὲ τὸ φιλοπόλεμόν τε καὶ τὸ λιτοδίαιτον, καὶ τὸ παρὰ πάντα τὰ ἔργα τοῦ βίου σκληρόν. Dionyſ. Halic. A. R. ii. 49.

[h] De Enomotiis vid. Thucyd. v. 68. et Xenoph. Λ. Π. c. 11. in diverſa tamen abeuntes. Id ſolum conſtat, militiam Spartanam in Moras, (ſex fortaſſe) Moram in Lochos, Lochum in Pentecoſtyas, Pentecoſtya in Enomotias diviſam fuiſſe. Quod ad numerum attinet, in Enomotia certe variatum eſt. Thucyd. l. c. in pugna ad Mantineam geſta Bell. Pelop. anno 14. *triginta duo*, Xenoph. vero Hellen. vi. 4. in pugna Leuctrica *triginta ſex* milites Enomotiæ attribuit, Suidas autem (in voce) *viginti quinque* tantum. Triacades, quantum reperio, ex uno hoc Herodoti loco innoteſcunt. Difficile eſt igitur de iis certi aliquid ſtatuere. De συσσιτίοις Plut. in Lyc. p. 46. cf. item Strabon. x. 482. et Ariſtot. Pol. ii. 9, 10. ubi inter alia, καὶ τόγε ἀρχαῖον ἐκάλουν οἱ Λάκωνες (τὰ συσσίτια) οὐ φιδίτια, ἀλλὰ ἄνδρια, καθάπερ οἱ Κρῆτες. Ita quoque Plut. et Strabo; vide et Athenæum v. 186. et iv. 140, 141. Suſpicor tamen alia aliqua συσσίτια hic loci ab Herodoto memorari. Numerantur enim inter τὰ ἐς πόλεμον ἔχοντα· et diſerte Polyænus de Lacedæmoniis, κατὰ λόχους καὶ μοίρας, καὶ ἐνωμοτίας, καὶ συσσίτια στρατοπεδεύοντες. ii. 3. 11.

[i] De Ephoris magna dubitatio. Primam eorum inſtitutionem ad Lycurgum referunt Herodotus, Satyrus ap. Diog. Laert. i. 68. et Plato Epiſt. 8. Alii omnes ad The-

66 γος. Οὕτω μὲν μεταβαλόντες ὠνομήθησαν· τῷ δὲ Λυκούργῳ τελευτήσαντι ἱρὸν εἱσάμενοι[k], σέβονται μεγάλως· οἵα δὲ ἔν τε χώρῃ ἀγαθῇ, καὶ πλήθει οὐκ ὀλίγων ἀνδρῶν, [l]ἀνά τε ἕδραμον αὐτίκα, καὶ ὠθηνήθησαν·

opompum regem. Plut. πρὸς ἡσιμ. ἀπαίδ. ſub init. et in Lycurgo 43. Ariſtot. Polit. v. 11. quin et ipſe Plato de Legg. iii. 692. τῆς ἐφορείας alium certe quam Lycurgum auctorem dixit. Cf. Cic. de Legg. iii. 7. Val. Max. iv. 1. At Herodoti auctoritas magni ſemper æſtimanda eſt. Et cum ipſe nobis auctor ſit Ariſtoteles (Pol. ii. 10.) Ephoros Spartanos eandem habuiſſe poteſtatem quam qui in Creta dicuntur Κόσμοι, Lycurgum autem diu in Creta verſatum fuiſſe, et omnia fere inſtituta ex Creta in patriam ſuam tranſtuliſſe, καὶ γὰρ ἔοικε, inquit, καὶ λίγιστα δὴ, τὰ πλεῖστα μεμιμῆσθαι τὴν Κρητικὴν πολιτείαν ἡ τῶν Λακώνων, vix veriſimile videtur ἀρχὴν iſtam quæ apud Cretenſes tantum præ cæteris eminuit a Lycurgo omnino prætermiſſam fuiſſe. Rem tamen in medio relinquo, et illa potius adjicio, de quibus nihil dubitatur. Erant itaque Ephori Spartani numero quini. Pauſan. iii. 11. Plutarch. Cleom. 808. (Coſmi autem Cretenſes deni, Ariſt. Pol. ii. 10.) ſingulis annis, Plut. Ageſ. 597. ἐπιγιγνομένῃ χειμῶνος, menſe ſc. Octobri ex mente Dodwelli ad Thuc. v. 36. cf. 19. ſuffragiis, non ſorte, lecti. Ariſt. Pol. iv. 9. Iſocr. in Panath. Eorum princeps ἔφορος ἐπωνύμος dictus, qui ſicut apud Athenienſes Ἄρχων ἐπώνυμος anno nomen dedit; exempla paſſim occurrunt. Γίνονται δ' ἐκ τοῦ δήμου πάντες. Ariſt. Pol. ii. 9. Soli Regibus non adſurgunt. Xen. Λ. Π. 15. quippe quorum ἀρχὴ δόξειεν ἂν πάσας εὐθύνειν τὰς ἀρχάς. Ariſt. Pol. ii 9. Ἔφοροι enim ἱκανοὶ μέν εἰσι ζημιᾶν ὃν ἂν βέλωνται, κύριοι δ' ἐκπράττειν παραχρῆμα, κύριοι δὲ καὶ ἄρχοντας μεταξὺ καταπαῦσαι, καὶ εἴρξαί γε, καὶ περὶ τ' ψυχῆς εἰς ἀγῶνα καθαστῆσαι. Xen. Λ. Π. 8. Ad ſenatores vero quod attinet, erant numero quidem *viginti octo*, (vid. vi. 57. Plut. in Lyc. 43.) ſuffragiis, ſicut Ephori, non ſorte, lecti, ἐκ τῶν ὑπὲρ ἐξήκοντα ἔτη γεγονότων. Plut. Lyc. 55. διὰ βίου, κύριοι κρισίων μεγάλων. Ariſt. Pol. ii. 9. ἀνεύθυνοι. ibid. ἰσόψηφοι εἰς τὰ μέγιστα τῇ τ' βασιλέων δυνάμει. Plato de Legg. iii. 692. et ita quoque Polyb. vi. 45. παρὰ Λακεδαιμονίοις οἱ μὲν βασιλεῖς ἀΐδιον ἔχουσι τὴν ἀρχὴν, οἱ δὲ προσαγορευόμενοι Γέροντες διὰ βίου, δι' ἃν καὶ μεθ' ὧν πάντα χειρίζεται τὰ κατὰ τὴν πολιτείαν.

[k] Cf. Plutarch. Lyc. 59. Pauſan. iii. 16. Strab. viii. 366.

[l] vii. 156. ἀνά τ' ἔδραμον καὶ ἔθλασον. Hom. Il. Σ'. 56. et

κῆ δή σφιν ὀκέτι ἀπέχρα ἡσυχίην ἄγειν, ἀλλὰ καταφρονήσαντες Ἀρκάδων κρέσσονες εἶναι, ἐχρηςηριάζοντο ἐν Δελφοῖσι ὑπὲρ πάσης τῆς Ἀρκάδων χώρης· ἡ δὲ Πυθίη σφι χρᾷ τάδε,

Ἀρκαδίην μ' αἰτεῖς ; μέγα μ' αἰτεῖς· ἔ τοι δώσω.
Πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
Οἵ σ' ἀποκωλύσουσιν· ἐγὼ δέ τοι ὅτι μεγαίρω.
Δώσω τοι Τεγέην προτίκροτον ὀρχήσασθαι,
Καὶ καλὸν πεδίον χοίνῳ διαμετρήσασθαι.

Ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Λακεδαιμόνιοι, Ἀρκάδων μὲν τῶν ἄλλων ἀπείχοντο· οἱ δὲ, πέδας φερόμενοι, ὑπὲρ Τεγεήτας ἐστρατεύοντο[m], χρησμῷ κιβδήλῳ πίσυνοι, ὡς δὴ ἐξανδραποδιούμενοι τοὺς Τεγεήτας· [n]ἐσσωθέντες δὲ τῇ συμβολῇ, ὅσοι αὐτέων ἐζωγρήθησαν, πέδας τε ἔχοντες τὰς ἐφέροντο αὐτοὶ, καὶ χοίνῳ διαμετρησάμενοι τὸ πεδίον τὸ Τεγεητέων, ἐργάζοντο· αἱ δὲ [o]πέδαι αὗται, ἐν τῇσιν ἐδεδέατο, ἔτι καὶ ἐς ἐμὲ ἦσαν σῶαι ἐν Τεγέῃ, περὶ τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης κρεμάμεναι. Κατὰ μὲν δὴ τὸν πρότερον πόλεμον συνεχέως αἰεὶ κακῶς ἀέθλεον πρὸς τοὺς Τεγεήτας· κατὰ δὲ τὸν κατὰ Κροῖσον χρόνον, καὶ τὴν Ἀναξανδρίδεώ τε καὶ Ἀρίστωνος βασιληίην ἐν Λακεδαίμονι, ἤδη οἱ Σπαρ- 67

Lacedæmoniorum prælia contra Tegeatas.

437.—ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος. Cf. autem Strab. viii. 365.

[m] Charillo nimirum regnante. A. C. circiter 860. Pauſ. iii. 7.

[n] Cf. Pauſan. x. 9.

[o] Ad Pauſaniæ etiam tempora ſuperfuerunt. Vid. viii. 47. ubi, et in cap. 45, de hoc templo alia ſatis multa— τὸ δὲ ἄγαλμα, inquit, ἐν Τεγέῃ τὸ ἐφ' ἡμέων ἐκομίσθη μὲν ἐκ δήμου τοῦ Μαινθουριέων· ἵππια δὲ παρὰ τοῖς Μαινθουριεῦσι εἶχεν ἐπίκλησιν. —Ἀλέαν μέν τοι καλεῦσαν κῆ ταύτην ἥς τε Ἕλληνας τοὺς ἄλλους καὶ ἐς αὐτοὺς Πελοποννησίους ἐκνενίκηκε· quia nimirum (c. 45.) Τεγεάταις Ἀθηνᾶς τῆς Ἀλέας τὸ ἱρὸν τὸ ἀρχαῖον ἐποίησεν Ἀλεύς. Cf. Strab. viii. 388.

τιῆται κατυπέρτεροι τῷ πολέμῳ ἐγεγένεσαν, τρόπῳ τοιῷδε γινόμενοι. Ἐπειδὴ αἰεὶ τῷ πολέμῳ ἐσσύντο ὑπὸ Τεγεητέων, πέμψαντες θεοπρόπους ἐς Δελφοὺς, ἐπειρώτεον τίνα ἂν θεῶν ἱλασάμενοι, κατύπερθε τῷ πολέμῳ Τεγεητέων γένοιατο· ἡ δὲ Πυθίη σφιν ἔχρησε, τὰ Ὀρέστεω τοῦ Ἀγαμέμνονος ὀστέα ἐπαγαγομένους· ὡς δὲ ἀνευρεῖν οἷοί τε ἐγένεατο τὴν θήκην τοῦ Ὀρέστεω, ἔπεμπον αὖτις ἐς θεὸν ἐπειρησομένους τὸν χῶρον ἐν τῷ κέοιτο ὁ Ὀρέστης· εἰρωτῶσι δὲ ταῦτα τοῖσι θεοπρόποισι λέγει ἡ Πυθίη τάδε, Oreſtis oſſa.

Ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ [p],
Ἔνθ' ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ' ἀνάγκης,
Καὶ τύπος ἀντίτυπος, καὶ [q] πῆμ' ἐπὶ πήματι κεῖται·
Ἔνθ' Ἀγαμεμνονίδεω κατέχει [r] φυσίζοος αἶα·
Τὸν σὺ κομισσάμενος, Τεγέης ἐπικάρσιος ἔσῃ.

Ὡς δὲ καὶ ταῦτα ἤκουσαν οἱ Λακεδαιμόνιοι, ἀπεῖχον τῆς ἐξευρέσιος οὐδὲν ἔλασσον, πάντα διζήμενοι, ἐς ὃ δὴ Λίχης τῶν ἀγαθοεργῶν καλεομένων Σπαρτιητέων ἀνεῦρεν. (οἱ δὲ ἀγαθοέργοι [s] εἰσι τῶν ἀστῶν, ἐξιόντες ἐκ τῶν ἱππέων αἰεὶ οἱ πρεσβύτατοι, πέντε ἔτεος ἑκάστου, τοὺς δεῖ τοῦτον τὸν ἐνιαυτὸν τὸν ἂν ἐξίωσιν ἐκ τῶν ἱππέων, Σπαρτιητέων τῷ κοινῷ διαπεμπομένους, μὴ [t] ἑλινύειν ἄλλους ἄλλῃ.) [u] Τετέων ὦν τῶν ἀνδρῶν Λίχης ἀνεῦρε ἐν Τε- Agathoërgi Spartæ.

[p] Hom. Od. Η'. 123.

[q] Soph. Antig. 605. ἀρχαῖα—πήματα φθιμένων ἐπὶ πήμασι πίπτοντα.

[r] Hom. Il. Γ'. 243.

[s] Ἀγαθοέργες nemo, quod ſciam, ſcriptorum veterum, præter Herodotum, commemorat. Ex hoc itaque loco unice deſumpta ſunt ea omnia quæ in Gloſſariis et Lexicis inveniuntur.

[t] Ἑλινύειν· pleriſque Grammaticis λέξις Ἰωνική. At Mœris contra ἑλινύων, Ἀττικῶς· et vide, inter alia loca a Pierſono ad v. congeſta, Ariſtoph. Θεσμ. 605. Æſchyl. Π. Δ. 53, et 529.

[u] Cf. Pauſan. iii. 3.

καὶ δή σφιν οὐκέτι ἀπέχρα ἡσυχίην ἄγειν, ἀλλὰ καταφρονήσαντες Ἀρκάδων κρέσσονες εἶναι, ἐχρηστηριάζοντο ἐν Δελφοῖσιν ἐπὶ πάσῃ τῇ Ἀρκάδων χώρῃ· ἡ δὲ Πυθίη σφι χρᾷ τάδε,

Ἀρκαδίην μ' αἰτεῖς; μέγα μ' αἰτεῖς· οὔ τοι δώσω.
Πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
Οἵ σ' ἀποκωλύσουσιν· ἐγὼ δέ τοι οὔτι μεγαίρω.
Δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι,
Καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι.

Ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Λακεδαιμόνιοι, Ἀρκάδων μὲν τῶν ἄλλων ἀπείχοντο· οἱ δὲ, πέδας φερόμενοι, ἐπὶ Τεγεήτας ἐστρατεύοντο[m], χρησμῷ κιβδήλῳ πίσυνοι, ὡς δὴ ἐξανδραποδιούμενοι τοὺς Τεγεήτας· [n]ἐσσωθέντες δὲ τῇ συμβολῇ, ὅσοι αὐτέων ἐζωγρήθησαν, πέδας τε ἔχοντες τὰς ἐφέροντο αὐτοὶ, καὶ σχοίνῳ διαμετρησάμενοι τὸ πεδίον τὸ Τεγεητέων, ἐργάζοντο· αἱ δὲ [o]πέδαι αὗται, ἐν τῇσιν ἐδεδέατο, ἔτι καὶ ἐς ἐμὲ ἦσαν σῶαι ἐν Τεγέῃ, περὶ τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης κρεμάμεναι. Κατὰ μὲν δὴ τὸν πρότερον πόλεμον συν- 67
εχέως αἰεὶ κακῶς ἀέθλεον πρὸς τοὺς Τεγεήτας· κατὰ δὲ τὸν κατὰ Κροῖσον χρόνον, καὶ τὴν Ἀναξανδρίδεώ τε καὶ Ἀρίστωνος βασιληΐην ἐν Λακεδαίμονι, ἤδη οἱ Σπαρ-

Lacedæmoniorum prælia contra Tegeatas.

437.—ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος. Cf. autem Strab. viii. 365.

[m] Charillo nimirum regnante. A. C. circiter 860. Pauſ. iii. 7.

[n] Cf. Pauſan. x. 9.

[o] Ad Pauſaniæ etiam tempora ſuperfuerunt. Vid. viii. 47. ubi, et in cap. 45, de hoc templo alia ſatis multa— τὸ δὲ ἄγαλμα, inquit, ἐν Τεγέᾳ τὸ ἐφ' ἡμων ἐκομίσθη μὲν ἐκ δήμου τοῦ Μανθουριέων· Ἱππία δὲ παρὰ τοῖς Μανθουριεῦσιν εἶχεν ἐπίκλησιν. —Ἀλέαν μέν τοι καλεῖσθαι καὶ ταύτην ἔς τε Ἕλληνας τοὺς ἄλλους καὶ ἐς αὐτοὺς Πελοποννησίους ἐκνενίκηκε· quia nimirum (c. 45.) Τεγεάταις Ἀθηνᾶς τῆς Ἀλέας τὸ ἱερὸν τὸ ἀρχαῖον ἐποίησεν Ἀλεός. Cf. Strab. viii. 388.

τιῆπαι κατυπέρτεροι τῷ πολέμῳ ἐγεγένεσαν, τρόπῳ τοιῷδε χρώμενοι. Ἐπειδὴ αἰεὶ τῷ πολέμῳ ἐσσύντο ὑπὸ Τεγεητέων, πέμψαντες θεοπρόπους ἐς Δελφοὺς, ἐπειρώτεον τίνα ἂν θεῶν ἱλασάμενοι, κατύπερθε τῷ πολέμῳ Τεγεητέων γένοιατο· ἡ δὲ Πυθίη σφιν ἔχρησε, τὰ Ὀρέστεω τοῦ Ἀγαμέμνονος ὀστέα ἐπαγαγομένους· ὡς δὲ ἀνευρεῖν ἐκ οἵοί τε ἐγένεατο τὴν θήκην τοῦ Ὀρέστεω, ἔπεμπον αὖτις ἐς θεὸν ἐπειρησομένους τὸν χῶρον ἐν τῷ κέοιτο ὁ Ὀρέστης· εἰρωτῶσι δὲ ταῦτα τοῖσι θεοπρόποισι λέγει ἡ Πυθίη τάδε, Orestis ossa.

Ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ[p],
Ἔνθ' ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ' ἀνάγκης,
Καὶ τύπος ἀντίτυπος, καὶ [q] πῆμα ἐπὶ πήματι κεῖται·
Ἔνθ' Ἀγαμεμνονίδεω κατέχει [r] φυσίζοος αἶα·
Τὸν σὺ κομισσάμενος, Τεγέης ἐπικράτορα ἔσῃ.

Ὡς δὲ καὶ ταῦτα ἤκουσαν οἱ Λακεδαιμόνιοι, ἀπεῖχον τῆς ἐξευρέσιος ἀδὲν ἔλασσον, πάντα διζήμενοι, ἐς ὅ δὴ Λίχης τῶν ἀγαθοεργῶν καλεομένων Σπαρτιητέων ἀνεῦρεν. (οἱ δὲ ἀγαθόεργοί [s] εἰσι τῶν ἀστῶν, ἐξιόντες ἐκ τῶν ἱππέων αἰεὶ οἱ πρεσβύτατοι, πέντε ἔτεος ἑκάστου, τοὺς δεῖ τοῦτον τὸν ἐνιαυτὸν τὸν ἂν ἐξίωσιν ἐκ τῶν ἱππέων, Σπαρτιητέων τῷ κοινῷ διαπεμπομένους, μὴ [t] ἑλινύειν ἄλλους ἄλλῃ.) [u] Τεητέων ὦν τῶν ἀνδρῶν Λίχης ἀνεῦρε ἐν Τε- Agathoërgi Spartæ. 67 68

[p] Hom. Od. Η'. 123.

[q] Soph. Antig. 605. ἀρχαῖα—πήματα φθιμένων ἐπὶ πήμασι πίπτοντα.

[r] Hom. Il. Γ'. 243.

[s] Ἀγαθοέργους nemo, quod ſciam, ſcriptorum veterum, præter Herodotum, commemorat. Ex hoc itaque loco unice deſumpta ſunt ea omnia quæ in Gloſſariis et Lexicis inveniuntur.

[t] Ἑλινύειν· pleriſque Grammaticis λέξις Ἰωνική. At Mœris contra ἑλινύων, Ἀττικῶς· et vide, inter alia loca a Pierſono ad v. congeſta, Ariſtoph. Θεσμ. 605. Æſchyl. Π. Δ. 53, et 529.

[u] Cf. Pauſan. iii. 3.

γέη, καὶ σωτυχίη χρησάμενος καὶ σοφίη· ἐόσης γὰρ τότε τὸν χρόνον ἐπιμιξίης πρὸς τοὺς Τεγεήτας, ἐλθὼν ἐς χαλκήιον, ἐθηεῖτο σίδηρον ἐξελαυνόμενον, καὶ ἐν θωύματι ἦν, ὁρέων τὸ ποιεόμενον· μαθὼν δέ μιν ὁ χαλκεὺς ἀποθωυμάζοντα, εἶπε παυσάμενος τοῦ ἔργου, "Ἦ "κου ἄν, ὦ ξεῖνε Λάκων, εἶπερ εἶδες τὸ περ ἐγώ, κάρ- "τα ἂν ἐθωύμαζες, ὅκου νῦν ἔτω τυγχάνεις θώϋμα "ποιεύμενος τὴν ἐργασίην τοῦ σιδήρου· ἐγὼ γὰρ ἐν τῇδε "θέλων τῇ αὐλῇ φρέαρ ποιήσασθαι, ὀρύσσων, ἐπέτυχον "σορῷ ἐπιπαπτεί, ὑπὸ δὲ ἀπιστίης μὴ μὲν γενέσθαι μη- "δαμᾶ μέζονας ἀνθρώπους τῶν νῦν, ἀνῳξα αὐτὴν, καὶ "εἶδον τὸν νεκρὸν μηκεῖ ἴσον ἐόντα τῇ σορῷ· μετρήσας "δὲ, συνέχωσα ὀπίσω." Ὁ μὲν δή οἱ ἔλεγε τά περ ὀπώπεε· ὁ δὲ, ἐννώσας τὰ λεγόμενα, συνεβάλλετο τὸν Ὀρέστεα κατὰ τὸ θεοπρόπιον τοῦτον εἶναι, τῇδε συμβαλλεόμενος· τοῦ χαλκέος δύο ὁρέων φύσας, τοὺς ἀνέμους εὗρισκε ἐόντας· τὸν δὲ ἄκμονα, καὶ τὴν σφύραν, τόν τε τύπον καὶ τὸν ἀντίτυπον· τὸν δὲ ἐξελαυνόμενον σίδηρον, τὸ πῆμα ὑπὸ πήματι κείμενον· κατὰ τοιόνδε τι εἰκάζων, ὡς ὑπὸ κακῷ ἀνθρώπου σίδηρος ἀνεύρηται· συμβαλλεόμενος δὲ ταῦτα, καὶ ἀπελθὼν ἐς Σπάρτην, ἔφραζε Λα- κεδαιμονίοισι πᾶν τὸ πρῆγμα· οἱ δὲ, ἐκ λόγου πλαστοῦ ἐπενείκαντές οἱ αἰτίην, [x]ἐδίωξαν· ὁ δὲ, ἀπικόμενος ἐς Τεγέην, καὶ φράζων τὴν ἑωυτοῦ συμφορὴν πρὸς τὸν χαλκέα, [y]ἐμισθοῦτο παρ' οὐκ ἐκδιδόντος τὴν αὐλὴν·

[x] *Exilio mulctarunt.* Et ita fortasse intelligendus S. Matthæus x. 23. Ὅταν δὲ διώκωσιν ὑμᾶς.

[y] *Conducere conabatur.* Eum in sensum perpetuo optimi scriptores verborum imperfecta adhibent. Sic paulo infr. ὠνέοντο *coëmere conabantur.* cf. iii. 139. et iii. 53. ἐγέλλετο.

χρόνῳ δὲ ὡς [z] ἀνέγνωσεν, ἐνοικίθη· ἀνορύξας δὲ τὸν τάφον, καὶ τὰ ὀστέα συλλέξας, οἴχετο φέρων ἐς Σπάρτην· καὶ ἀπὸ τούτου τοῦ χρόνου, ὅκως ἐπειρώατο ἀλλήλων, πολλῷ κατυπέρτεροι τῷ πολέμῳ ἐγίνοντο οἱ Λακεδαιμόνιοι· ἤδη δέ σφι καὶ ἡ πολλὴ τῆς Πελοποννήσου ἦν κατεσταμένη.

69 XII. Ταῦτα δὴ ὧν πάντα πυνθανόμενος ὁ Κροῖσος, ἔπεμπε [a] ἐς Σπάρτην ἀγγέλους δῶρά τε φέροντας, καὶ δεησομένους συμμαχίης, ἐντειλάμενός τε τὰ λέγειν χρῆν· οἱ δὲ, ἐλθόντες ἔλεγον, "Ἔπεμψε ἡμέας Κροῖσος ὁ "Λυδῶν τε καὶ ἄλλων ἐθνέων βασιλεύς, λέγων τάδε, "Ὦ Λακεδαιμόνιοι, χρήσαντος τοῦ θεοῦ τὸν Ἕλληνα "φίλον προσθέσθαι (ὑμέας γὰρ πυνθάνομαι πρόε- "σάναι τῆς Ἑλλάδος) ὑμέας ὧν κατὰ τὸ χρηστήριον "προσκαλέομαι, φίλος τε θέλων γενέσθαι καὶ σύμμα- "χος ἄνευ τε δόλου καὶ ἀπάτης." Κροῖσος μὲν δὴ ταῦτα δι' ἀγγέλων ἐπεκηρυκεύετο. Λακεδαιμόνιοι δὲ, ἀκηκοότες καὶ αὐτοὶ τὸ θεοπρόπιον τὸ Κροίσῳ γενόμενον, ἥσθησάν τε τῇ ἀφίξεϊ τῶν Λυδῶν, καὶ ἐποιήσαντο ὅρκια ξεινίης πέρι καὶ ξυμμαχίης· καὶ γάρ τινες αὐτοὺς εὐεργεσίαι εἶχον ἐκ Κροίσου πρότερον ἔτι γεγονυῖαι· πέμψαντες γὰρ οἱ Λακεδαιμόνιοι ἐς Σάρδις, χρυσὸν ὠνέοντο, ἐς ἄγαλμα βουλόμενοι χρήσασθαι τούτῳ, τὸ νῦν τῆς Λακωνικῆς [b] ἐν

Lacedæmonii cum Crœso fœdus ineunt.

In omnibus conatus aliquis et voluntas indicatur.

[z] Ἀνέγνωσεν pro ἀνέπεισεν. Ita sæpe Herodotus. cf. 128. huj. et iv. 154. Grammaticis λέξις Ἰωνική· at apud Antiphontem legitur Orat. iii. 117.

[a] Hinc Messeniorum exprobratio in Lacedæmonios, Κροίσῳ τε αὐτοῖς δῶρα ἀποστείλαντι γένεσθαι φίλους βαρβάρων πρώτους· ἀφ' ὅ γε τούς τε ἄλλους τοὺς ἐν τῇ Ἀσίᾳ κατεδουλώσατο Ἕλληνας, καὶ ὅσοι Δωριεῖς ἐν τῇ Καρικῇ κατοικοῦσιν ἠπείρῳ. Pausan. iv. 5.

[b] Ἐν δὲ Θόρνακι—ἄγαλμά ἐστι Πυθαίως Ἀπόλλωνος—Λακεδαιμονίοις δὲ ἐπιφανέστερά ἐστι τὰ ἐς τὸ

Θόρνακι ἱδρυται Ἀπόλλωνος· Κροῖσος δὲ σφι ὠνεομένοισι ἔδωκε δωτίνην. Τετέων τε ὦν εἵνεκεν οἱ Λακεδαιμόνιοι 70
τὴν συμμαχίην ἐδέξαντο, καὶ ὅτι ἐκ πάντων σφέας προκρίνας Ἑλλήνων αἱρέετο φίλους· καὶ τὸ μὲν, αὐτοὶ ἔσαν ἕτοιμοι ἐπαγγείλαντι· τὸ δὲ, ποιησάμενοι κρητῆρα χάλκεον, ζωδίων τε ἔξωθεν πλήσαντες περὶ τὸ χεῖλος, καὶ μεγάθεϊ τριηκοσίους ἀμφορέας χωρέοντα ἄγον, δῶρον βουλόμενοι ἀντιδοῦναι Κροίσῳ· ἕτος ὁ [c] κρητὴρ οὐκ ἀπίκετο ἐς Σάρδις, δι' αἰτίας διφασίας λεγομένας τάσδε· οἱ μὲν Λακεδαιμόνιοι λέγουσι ὡς ἐπεί τε ἀγόμενος ἐς τὰς Σάρδις ὁ κρητὴρ ἐγίνετο κατὰ τὴν Σαμίην, πυθόμενοι Σάμιοι ἀπελοίατο αὐτὸν, νηυσὶ μακρῇσι ἐπιπλώσαντες· αὐτοὶ δὲ Σάμιοι λέγουσι ὡς ἐπεί τε ὑστέρησαν οἱ ἄγοντες τῶν Λακεδαιμονίων τὸν κρητῆρα, ἐπυνθάνοντο δὲ Σάρδις τε καὶ Κροῖσον ἡλωκέναι, ἀπέδοντο τὸν κρητῆρα ἐν Σάμῳ· ἰδιώτας δὲ ἄνδρας πριαμένους ἀναθεῖναί μιν ἐς [d] τὸ Ἡραῖον· τάχα δὲ ἂν κῆ οἱ ἀποδόμενοι λέγοιεν ἀπικόμενοι ἐς Σπάρτην, ὡς ἀπαιρεθείησαν ὑπὸ Σαμίων· κατὰ μέν νυν τὸν κρητῆρα ἔτως ἔχει.

Crœsi adversus Cappadociam expeditio. Ol. LVIII. 1. A. C. 548.

XIII. Κροῖσος δὲ ἁμαρτὼν τοῦ χρησμοῦ, ἐπιέετο στρατηίην ἐς Καππαδοκίην, ἐλπίσας καταιρήσειν Κῦρόν τε καὶ τὴν Περσέων δύναμιν· παρασκευαζομένου δὲ Κροίσου στρατεύεσθαι ἐπὶ Πέρσας, τῶν τις Λυδῶν, νομιζόμενος καὶ πρόσθεν εἶναι σοφὸς, ἀπὸ δὲ ταύτης τῆς γνώμης καὶ 71

[a] Ἀμυκλαῖον, ὥστε καὶ τὸν χρυσὸν ὃν Κροῖσος ὁ Λυδὸς τῷ Ἀπόλλωνι ἔπεμψε τῷ Πυθαεῖ τοῦτο, εἰς κόσμον τοῦ ἐν Ἀμύκλαις καὶ ἐχρήσαντο ἀγάλματος. Pausan. iii. 10. vide etiam Athenæum vi. 232.

[c] De eodem cratere iii. 47.

[d] Vide iv. 88, et 152.

τὸ κάρτα ὄνομα ἐν Λυδοῖσι ἔχων, συνεβούλευσε Κροίσῳ τάδε, (ὄνομά οἱ ἦν Σάνδανις) "[e] Ὦ βασιλεῦ, ἐπ' ἄν- Sandanis consilium.
"δρας τοιούτους στρατεύεσθαι παρασκευάζεαι, οἳ σκυτί-
"νας μὲν ἀναξυρίδας, σκυτίνην δὲ τὴν ἄλλην ἐσθῆτα
"φορέουσι· σιτέονται δὲ οὐκ ὅσα ἐθέλουσι, ἀλλ' ὅσα
"ἔχουσι, χώρην [f] ἔχοντες τρηχείην· πρὸς δὲ, οὐκ οἴνῳ
"διαχρέωνται, ἀλλὰ ὑδροποτέουσι[g], οὐ σῦκα[h] δὲ ἔχουσι
"τρώγειν, οὐκ ἄλλο ἀγαθὸν οὐδέν· τοῦτο μὲν δὴ, εἰ νι-
"κήσεις, τί σφεας ἀπαιρήσεαι, τοῖσι γε μή ἐστι μηδέν;
"τοῦτο δὲ, ἢν νικηθῇς, μάθε ὅσα ἀγαθὰ ἀποβαλέεις·
"γευσάμενοι γὰρ τῶν ἡμετέρων ἀγαθῶν, πειέξονται,
"οὐδὲ ἀπωστοὶ ἔσονται· ἐγὼ μέν νυν θεοῖσι ἔχω χάριν,
"οἳ οὐκ ἐπὶ νόον ποιέουσι Πέρσῃσι στρατεύεσθαι ἐπὶ Λυ-
"δούς·" ταῦτα λέγων, οὐκ ἔπειθε τὸν Κροῖσον. Πέρ- Persarum paupertas.
σῃσι γὰρ, πρὶν Λυδοὺς καταστρέψασθαι, ἦν οὔτε ἁβρὸν
72 οὔτε ἀγαθὸν οὐδέν. Οἱ δὲ Καππαδόκαι ὑπ' Ἑλλήνων
[i] Σύριοι ὀνομάζονται· ἔσαν δὲ οἱ Σύριοι οὗτοι, τὸ μὲν πρό- Syrii Cappadoces.
τερον ἢ Πέρσας ἄρξαι, Μήδων κατήκοοι, τότε δὲ Κύρου·
ὁ γὰρ ὄρος ἦν τῆς τε Μηδικῆς ἀρχῆς καὶ τῆς Λυδικῆς,
ὁ Ἅλυς ποταμὸς[k], ὃς ῥέει ἐξ Ἀρμενίου ὄρεος διὰ Κιλί-

[e] Hæc ita citat Athenæus iii. 78. ὦ βασιλεῦ, σὺ δὲ ἐπ' ἄνδρας τοιούτους. Similiter vii. 10. σὺ δὲ, ὦ βασιλεῦ, μέλλεις ἐπ' ἄνδρας στρατεύεσθαι πολλὸν ἀμείνονας ἢ Σκύθας.

[f] Ita et ipsi Persæ: γῆν γὰρ ἐκτήμεθα ὀλίγην, καὶ ταύτην τρηχέην. ix. 121. Ita ἐπιπονώτατα ζῶντες διὰ τὴν τῆς χώρας τραχύτητα dicuntur Xen. Κ. Π. vii. 5.

[g] Ita et Xenoph. Κ. Π. i. 2. at vide 133. huj.

[h] Ad hæc respexit Julianus Imp. Epist. 24.

[i] Vid. 6. huj. et ii. 104. cf. Scholiast. ad Apollon. ii. 948, et 966.

[k] Vid. 6. huj. cf. autem Arriani Peripl. p. 127. Cæterum de hoc Herodoti loco varie disputatum est. Unus, ut videtur, rem feliciter expediit D'Anvillius Géogr. Anc. II. 7. cujus itaque verba subjicio. *Halys est le plus grand des*

κων· μετὰ δὲ, Ματιηνοὺς μὲν ἐν δεξιῇ ἔχει ῥέων, ἐκ δὲ τοῦ ἑτέρου, Φρύγας· παραμειβόμενος δὲ τούτους, καὶ ῥέων ἄνω πρὸς βορέην ἄνεμον, ἔνθεν μὲν Συρίους Καππαδόκας ἀπέργει[l], ἐξ εὐωνύμου δὲ Παφλαγόνας· οὕτω ὁ Ἅλυς ποταμὸς ἀποτάμνει σχεδὸν πάντα τῆς Ἀσίης τὰ κάτω ἐκ θαλάσσης τῆς ἀντίον Κύπρου ἐς τὸν Εὔξεινον πόντον· ἔστι δὲ αὐχὴν οὗτος τῆς χώρης ταύτης ἁπάσης· μῆκος ὁδοῦ εὐζώνῳ ἀνδρὶ [m]πέντε ἡμέραι ἀναισιμοῦνται.

XIV. Ἐστρατεύετο δὲ ὁ Κροῖσος ἐπὶ τὴν Καππαδοκίην τῶνδε εἵνεκα, καὶ γῆς ἱμέρῳ, προσκτήσασθαι πρὸς τὴν ἑωϋτοῦ μοίρην βουλόμενος, καὶ μάλιστα τῷ χρηστηρίῳ πίσυνος ἐὼν, καὶ τίσασθαι θέλων ὑπὲρ Ἀστυάγεος Κῦρον. 73

Astyages affinis Crœsi.

Ἀστυάγεα γὰρ τὸν Κυαξάρεω, ἐόντα Κροίσου μὲν γαμβρὸν, Μήδων δὲ βασιλῆα, Κῦρος ὁ Καμβύσεω καταστρεψάμενος εἶχε, γενόμενον γαμβρὸν Κροίσῳ ὧδε. Σκυθέων τῶν νομάδων εἵλη ἀνδρῶν στασιάσασα, ὑπεξῆλθε ἐς γῆν τὴν Μηδικήν· ἐτυράννευε δὲ τὸν χρόνον τοῦτον

fleuves de cette contrée. Il prend sa source fort au loin vers ce qu'on appelloit l'Arménie mineure, et après avoir traversé d'orient en occident tout le nord de la Cappadoce, il est joint par une rivière sortant du mont Taurus, et à laquelle le nom de Halys a été également attribué. Duos hosce fluvios Herodotus non satis accurate distinguit. Quæ de ortu et cursu Halyos retulit ad priorem pertinent, et sunt vera omnia; cum tamen subjicit *Halyn fluvium* ἀποτάμνειν σχεδὸν πάντα τῆς Ἀσίης τὰ κάτω ἐκ θαλάσσης τῆς ἀντίον Κύπρου ἐς τὸν Εὔξεινον πόντον, respicit proculdubio Halyn illum alterum qui ex Tauri montis latere septentrionali ortus (haud ita magno a mari Cyprio intervallo) videtur quodammodo Asiam bifariam secare. Sed hujus fortasse regionis inter duo maria positæ geographiam non satis sibi cognitam habuit Herodotus. Vid. ad ii. 34.

[l] Hom. Il. Θ'. 325.—ὅθι κληῒς ἀποέργει Αὐχένα τε στῆθός τε.—

[m] Vid. ii. 34.

Μήδων Κυαξάρης ὁ Φραόρτεω τοῦ Δηϊόκεω, ὃς τοὺς Σκύθας τούτους τὸ μὲν πρῶτον περιεῖπε εὖ, ὡς ἐόντας ἱκέτας, ὥς τε δὲ περὶ πολλοῦ ποιεόμενος αὐτούς, παῖδάς σφι παρέδωκε τὴν γλῶσσάν τε ἐκμαθέειν, καὶ τὴν τέχνην τῶν τόξων· χρόνῳ δὲ γιομένῳ, καὶ αἰεὶ φοιτεόντων τῶν Σκυθέων ἐπ' ἄγρην, καὶ ἀεί τι φερόντων, καί κοτε συμπίνεικε ἐλθεῖν σφέας μηδέν· νοσήσαντας δὲ αὐτοὺς κενῇσι χερσὶ, ὁ Κυαξάρης, (ἦν γὰρ, ὡς διέδεξε, [n] ὀργὴν οὐκ ἄκρος) τρηχέως κάρτα περιέσπε ἀεικείῃ· οἱ δὲ, ταῦτα πρὸς Κυαξάρεω παθόντες, ὥστε ἀνάξιά σφεων αὐτῶν πεπονθότες, ἐβεβλώσαντο τῶν παρὰ σφίσι διδασκομένων παίδων ἕνα κατακόψαι, σκυλάσαντες δὲ αὐτὸν ὥσπερ εἰώθεσαν κατὰ τὰ θηρία σκυλάζειν, Κυαξάρεϊ δοῦναι φέροντες, ὡς ἄγριον δὴθεν, δόντες δὲ, τὴν ταχίστην κομίζεσθαι παρὰ Ἀλυάττεα τὸν Σαδυάττεω ἐς Σάρδις· ταῦτα καὶ δὴ ἐγίνετο· καὶ γὰρ Κυαξάρης καὶ οἱ παρεόντες δαιτυμόνες τῶν κρεῶν τετέων ἐπάσαντο[o], καὶ οἱ Σκύθαι ταῦτα ποιήσαντες, Ἀλυάττεω ἱκέται ἐγέ- 74 νοντο. Μετὰ δὲ ταῦτα (οὐ γὰρ δὴ ὁ Ἀλυάττης ἐξεδίδου τοὺς Σκύθας ἐξαιτέοντι Κυαξάρεϊ) πόλεμος τοῖσι Λυδοῖσι καὶ τοῖσι Μήδοισι ἐγεγόνεε ἐπ' ἔτεα πέντε· ἐν τοῖσι πολλάκις μὲν οἱ Μῆδοι τοὺς Λυδοὺς ἐνίκησαν, πολλάκις δὲ οἱ Λυδοὶ τοὺς Μήδους· ἐν δὲ καὶ νυκτομαχίην τινὰ ἐποιήσαντο· Διαφέρουσι δέ σφι ἐπὶ ἴσης τὸν πόλεμον, τῷ ἕκτῳ ἔτεϊ συμβολῆς γιομένης, συνήνεικε ὥστε τῆς μάχης συνεστεώσης τὴν ἡμέρην ἐξαπίνης νύκτα γενέσθαι· τὴν δὲ μεταλλαγὴν ταύτην τῆς ἡμέρης Θαλῆς ὁ Μιλή-

Scytharum feritas incensa verbis Cyaxaris.

A. C. 590. Bellum inter Medos et Lydios.

A. C. 585. Solis defectus quem prædixerat Thales.

[n] Ὀργὴν ἄκρος—omissa particula negativa. Wess.

[o] —καὶ σπλαγχν' ἐπάσαντο apud Hom. sæpissime.

σιος τοῖσι Ἴωσι προηγόρευσε ἔσεσθαι, οὖρον προθέμενος ἐνιαυτὸν τοῦτον, ἐν ᾧ δὴ καὶ ἐγένετο ἡ μεταβολή· οἱ δὲ Λυδοί τε καὶ οἱ Μῆδοι ἐπεί τε εἶδον νύκτα ἀντὶ ἡμέρης γινομένην, τῆς μάχης τε ἐπαύσαντο, καὶ μᾶλλόν τι ἔσπευσαν ἢ ἀμφότεροι εἰρήνην ἐωυτοῖσι γενέσθαι· οἱ δὲ συμβιβάσαντες αὐτὰς ἔσαν οἵδε, [p] Συέννεσίς τε ὁ Κίλιξ, καὶ Λαβυνήτος ὁ Βαβυλώνιος· οὗτοι σφι καὶ τὸ ὅρκιον οἱ σπεύσαντες γενέσθαι ἔσαν, καὶ γάμων ἐπαλλαγὴν ἐποίησαν· Ἀλυάττεα γὰρ ἔγνωσαν δοῦναι τὴν θυγατέρα Ἀρύηνιν Ἀστυάγεϊ τῷ Κυαξάρεω παιδί· ἄνευ γὰρ ἀναγκαίης ἰσχυρῆς συμβάσιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν. Ὅρκια δὲ ποιέεται παῦσα τὰ ἔθνεα τάδε τὰ περ τε Ἕλληνες· καὶ πρὸς τούτοισι, ἐπεὰν τὰς βραχίονας ἐπιτάμωνται ἐς τὴν ὁμοχροίην, τὸ αἷμα ἀναλείχουσι ἀλλήλων. Τοῦτον δὴ 75 ὧν Ἀστυάγεα Κῦρος εἶχε ἐωυτῷ μητροπάτορα καταστρεψάμενος ἔσχε, δι' αἰτίην τὴν ἐγὼ ἐν τοῖσι ὀπίσω λόγοισι σημανέω· τὰ Κροῖσος ἐπιμεμφόμενος τῷ Κύρῳ, ἔς τε τὰ χρηστήρια ἔπεμπε, εἰ στρατεύηται ἐπὶ Πέρσας· καὶ δὴ καὶ ἀπικομένου χρησμὸν κιβδήλου, ἐλπίσας περὶ ἑωυτοῦ τὸν χρησμὸν εἶναι, ἐστρατεύετο ἐς τὴν Περσέων μοίρην· ὡς δὲ ἀπίκετο ἐπὶ τὸν Ἅλυν ποταμὸν ὁ Κροῖσος, τὸ ἐνθεῦτεν, ὡς μὲν ἐγὼ λέγω, κατὰ τὰς ἐόσας γεφύρας διεβίβασε τὸν στρατόν· ὡς [r] δὲ ὁ πολλὸς λόγος Ἑλλήνων, Θαλῆς οἱ ὁ Μιλήσιος διεβίβασε· ἀπορεόντος γὰρ Κροίσου, ὅκως οἱ διαβήσεται τὸν ποταμὸν ὁ στρατὸς, (ἦν γὰρ δὴ

Pacis auctores Syennesis et Labynetus.

Fœderis vinculum in mutuo sanguine lingendo.

76

Halyos transitus. Ol. LVIII. 1. A. C. 548.

[p] Videtur Syennesis nomen fuisse commune regibus Ciliciæ, ut Ptolemæus, Ægypti. Cf. v. 118. vii. 98. et Xenoph. K. A. vii. sub fine.

[q] *In summa cutis superficie*— Wess. At fatendum est, de vero vocis hujus sensu non satis constare.

[r] Diog. Laert. i. 38.

εἶναί κω τοῦτον τὸν χρόνον τὰς γεφύρας ταύτας) λέγεται παρεόντα τὸν Θαλῆν ἐν τῷ στρατοπέδῳ, ποιῆσαι αὐτῷ τὸν ποταμὸν ἐξ ἀριστερῆς χειρὸς ῥέοντα τῇ στρατῇ, καὶ ἐκ δεξιῆς ῥέειν· ποιῆσαι δὲ ὧδε· ἄνωθεν τοῦ στρατοπέδου ἀρξάμενον, διώρυχα βαθέην ὀρύσσειν, ἄγοντα μηνοειδέα, ὄκως ἂν τὸ στρατόπεδον ἱδρυμένον κατὰ νώτου λάβοι· ταύτην κατὰ τὴν διώρυχα ἐκτραπόμενος ἐκ τῶν ἀρχαίων ῥεέθρων, καὶ αὖτις παραμειβόμενος τὸ στρατόπεδον, ἐς τὰ ἀρχαῖα ἐσβάλλοι· ὥστε ἐπεί τε καὶ ἐχρήθη, τάχιστα ὁ ποταμὸς ἀμφοτέρῃ διαβατὸς ἐγένετο· οἱ δὲ καὶ τὸ παράπαν λέγουσι καὶ τὸ ἀρχαῖον ῥέεθρον ἀποξηρανθῆναι· ἀλλὰ τοῦτο μὲν οὐ προσίεμαι· πῶς γὰρ ὀπίσω πρευ- 76 μένοι διέβησαν αὐτόν; Κροῖσος δὲ, ἐπεί τε διαβὰς σὺν τῷ στρατῷ ἀπίκετο Καππαδοκίης ἐς τὴν Πτερίην καλεομένην· (s ἡ δὲ Πτερίη ἐστὶ τῆς χώρης ταύτης τὸ ἰσχυρότατον, κατὰ Σινώπην πόλιν τὴν ἐν Εὐξείνῳ πόντῳ μάλιστά κη κειμένη·) ἐνθαῦτα ἐστρατοπεδεύετο, φθείρων τῶν Συρίων τοὺς κλήρους· καὶ εἷλε μὲν τῶν Πτερίων τὴν πόλιν, καὶ ἠνδραποδίσατο, εἷλε δὲ τὰς περιοικίδας αὐτῆς πάσας, Συρίους τε, οὐδὲν ἐόντας αἰτίους, ἀναστάτους ἐποίησε. Κῦρος δὲ ἀγείρας τὸ ἑωυτοῦ στρατὸν, καὶ παραλαβὼν τοὺς μεταξὺ οἰκέοντας πάντας, ἠντιοῦτο Κροίσῳ· t πρὶν δὲ ἐξελαύνειν ὁρμῆσαι τὸν στρατὸν, πέμψας κήρυκας ἐς τοὺς Ἴωνας, ἐπειρᾶτο σφέας ἀπὸ Κροίσου ἀποστάσας. Ἴωνες μέν νυν οὐκ ἐπείθοντο· Κῦρος δὲ ὡς ἀπίκετο, καὶ ἀντεστρατοπε-

Thaletis commentum.

Pteria.

Cyrus tentat Ionas.

s Pteriæ regionis, aut urbis Pteriorum, alia nulla apud veteres ſcriptores mentio eſt. Ἔστι καὶ Πτερία πόλις Σινώπης· inquit Steph. Byzant. ad hunc ipſum, ut videtur, Herodoti locum reſpiciens.

t Ita fere vii. 150. πρότερον ἢπερ ὁρμῆσαι στρατεύσασθαι ἐπὶ τὴν Ἑλλάδα.

διύσατο Κροίσῳ, ἐνθαῦτα ἐν τῇ Πτερίῃ χώρῃ ἐπειρῶντο καὶ τὸ ἰσχυρὸν ἀλλήλων· μάχης δὲ καρτερῆς γενομένης, καὶ πεσόντων ἀμφοτέρων πολλῶν, τέλος ὑδέτεροι νικήσαντες διέσησαν, νυκτὸς ἐπελθούσης. Καὶ τὰ μὲν στρατόπεδα ἀμφότερα ὕτως ἠγωνίσατο· Κροῖσος δὲ, μεμφθεὶς καὶ τὸ πλῆθος τὸ ἑωϋτοῦ στράτευμα, ἦν γὰρ οἱ συμβαλὼν στρατὸς πολλὸν ἐλάσσων ἢ ὁ Κύρου, τοῦτο μεμφθεὶς, ὡς τῇ ὑστεραίῃ οὐκ ἐπειρᾶτο[u] ἐπιὼν ὁ Κῦρος, ἀπήλαυνε ἐς τὰς Σάρδις, ἐν νόῳ ἔχων, παρακαλέσας μὲν Αἰγυπτίους κατὰ τὸ ὅρκιον, (ἐποιήσατο γὰρ καὶ πρὸς Ἄμασιν βασιλεύοντα Αἰγύπτου συμμαχίην πρότερον ἤπερ πρὸς Λακεδαιμονίους) μεταπεμψάμενος δὲ καὶ Βαβυλωνίους, (καὶ γὰρ πρὸς τούτους αὐτῷ ἐπεποίητο συμμαχίη· ἐτυράννευε δὲ τῶν Βαβυλωνίων τὸν χρόνον τοῦτον Λαβύνητος) ἐπαγγείλας δὲ καὶ Λακεδαιμονίους παρεῖναι ἐς χρόνον ῥητὸν, ἀλίσας τε δὴ τούτους, καὶ τὴν ἑωϋτοῦ συλλέξας στρατιὴν, ἐνένωτο, τὸν χειμῶνα παρεὶς, ἅμα τῷ ἦρι στρατεύειν ἐπὶ τοὺς Πέρσας· καὶ ὁ μὲν, ταῦτα φρονέων, ὡς ἀπίκετο ἐς τὰς Σάρδις, ἔπεμπε κήρυκας κατὰ τὰς συμμαχίας, προερέοντας ἐς πέμπτον μῆνα συλλέγεσθαι ἐς Σάρδις· τὸν δὲ παρεόντα καὶ μαχεσάμενον στρατὸν Πέρσῃσι, ὃς οἱ αὐτοῦ ξεινικὸς, πάντα ἀφεὶς, διεσκέδασε, οὐδαμᾶ ἐλπίσας μή κοτε ἄρα ἀγωνισάμενος ὕτω παραπλησίως Κῦρος ἐλάσσῃ ἐπὶ Σάρδις. Ταῦτα ἐπιλεγομένῳ Κροίσῳ τὸ προάστειον πᾶν ὀφίων ἐνεπλήσθη· φανέντων δὲ αὐτέων, οἱ ἵπποι μετιέντες τὰς νομὰς νέμεσθαι, φοιτέοντες κατήσθιον· ἰδόντι δὲ τοῦτο

77

78

Crœsus redit Sardes.

Portentum in suburbanis.

[u] vi. 5. ἐπειρᾶτο κατιὼν ὁ Ἰσιαῖος. et 50. ὡς δὲ ἐπειρᾶτο συλλαμβάνων. cf. vii. 172. et ix. 26. tum 84. huj. ἐπειρᾶτο προσβαίνων.

Κροίσῳ, ὥσπερ καὶ ἦν, ἔδοξε τέρας εἶναι· αὐτίκα δὲ ἔπεμπε θεοπρόπους ἐς τὰς ἐξηγητέας [x] Τελμησσέων· ἀπικομένοισι δὲ τοῖσι θεοπρόποισι, ἐς μαθεῖν πρὸς Τελμησσέων τὸ θέλει σημαίνειν τὸ τέρας, οὐκ ἐξεγένετο Κροίσῳ ἀπαγγεῖλαι· πρὶν γὰρ ἢ ὀπίσω σφέας ἀναπλῶσαι ἐς τὰς Σάρδις, ἥλω ὁ Κροῖσος. Τελμησσέες μέν τοι τάδε ἔγνωσαν, στρατὸν ἀλλόθροον προσδόκιμον εἶναι Κροίσῳ ἐπὶ τὴν χώρην· ἀπικόμενον δὲ τοῦτον καταστρέψεσθαι τὰς ἐπιχωρίους, λέγοντες ὅφιν εἶναι γῆς παῖδα, ἵππον δὲ, πολέμιόν τε ἐπήλυδα. Τελμησσέες μέν νυν ταῦτα ὑπεκρίναντο Κροίσῳ ἤδη ἡλωκότι, οὐδὲν κω εἰδότες τῶν ἦν περὶ Σάρδις τε καὶ αὐτὸν Κροῖσον. Explicatio ejus per Telmeſſenſes.

79 XV. Κῦρος δὲ, αὐτίκα ἀπελαύνοντος Κροίσου, μεταὶ τὴν μάχην τὴν γενομένην ἐν τῇ Πτερίῃ, μαθὼν ὡς ἀπελάσας μέλλοι Κροῖσος Δασκεδᾶν τὸν στρατὸν, βουλευόμενος εὕρισκε πρῆγμά οἱ εἶναι [y] ἐλαύνειν ὡς δύναιτο τάχιστα ἐπὶ τὰς Σάρδις, πρὶν ἢ τοδεύτερον ἀλισθῆναι τῶν Λυδῶν δύναμιν· ὡς δὲ οἱ ταῦτα ἔδοξε, καὶ ἐποίεε κατὰ τάχος· ἐλάσας γὰρ τὸν στρατὸν ἐς τὴν Λυδίην, αὐτὸς ἄγγελος Κροίσῳ ἐληλύθεε. Ἐνθαῦτα Κροῖσος ἐς ἀπορίην πολλὴν ἀπιγμένος, ὡς οἱ παρὰ δόξαν ἔσχε τὰ

[x] Telmeſſus, vel Telmiſſus, πολίχνη Λυκίων, καὶ Τελμισσὶς ἄκρα, λιμένα ἔχουσα. Strab. xiv. 645. In confiniis Lyciæ et Cariæ ſita. Unde Cic. de Divin. i. 41. *Telmeſſus in Caria eſt: qua in urbe excellit haruſpicum diſciplina.* Εἶναι γὰρ τὰς Τελμισσίας σοφὲς τὰ θεῖα ἐξηγεῖσθαι. Arr. Exp. Alex. ii. 86. ubi et alia plura, et apud Juſtin. xi. 7. Etiam quod ad v. ἐξηγητέας attinet, cf. Pauſan. de Iophonte Cnoſſio i. 34. et Strabon. de Heliopoli Ægyptiorum xvii. 806.

[y] *Ex uſu ſuo eſſe.* Ita iv. 11. ὡς ἀπαλλάσσεσθαι πρῆγμα εἴη. vii. 12. πάγχυ εὑρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι.

πρήγματα ἢ ὡς αὐτὸς κατεδόκεε, ὅμως τὰς Λυδὰς ἐξῆγε ἐς μάχην· ἦν δὲ τοῦτον τὸν χρόνον ἔθνος οὐδὲν ἐν τῇ Ἀσίῃ οὔτε ἀνδρειότερον, οὔτε ἀλκιμώτερον τοῦ Λυδίου· ἡ δὲ μάχη[z] σφέων ἦν ἀπ' ἵππων[a], δόρατά τε ἐφόρεον μεγάλα, καὶ αὐτοὶ ἔσαν ἱππεύεσθαι ἀγαθοί. Ἐς τὸ 80
πεδίον δὲ συνελθόντων τοῦτο τὸ πρὸ τοῦ ἄστεος ἐστὶ τοῦ Σαρδιηνοῦ, ἐὸν μέγα τε καὶ ψιλὸν[b], (διὰ δὲ αὐτοῦ ποταμοὶ ῥέοντες καὶ ἄλλοι, καὶ Ὕλλος[c] συρρέγνυσι ἐς τὸν μέγιστον, καλεόμενον δὲ Ἕρμον, ὃς ἐξ ὄρεος ἱροῦ μητρὸς Δινδυμήνης ῥέων, ἐκδιδοῖ ἐς θάλασσαν κατὰ Φωκαίην πόλιν) ἐνθαῦτα ὁ Κῦρος ὡς εἶδε τὰς Λυδὰς ἐς μάχην τασσομένας, καταρρωδήσας τὴν ἵππον, ἐποίησε, Ἁρπάγου ὑποθεμένου ἀνδρὸς Μήδου, τοιόνδε· ὅσας τῷ στρατῷ τῷ ἑωυτοῦ εἵποντο σιτοφόροι τε καὶ σκευοφόροι κάμηλοι, ταύτας πάσας ἀλίσας, καὶ ἀπελὼν τὰ ἄχθεα, ἄνδρας ἐπ' αὐτὰς ἀνέβησε ἱππάδα στολὴν ἐνεσταλμένους· σκευάσας δὲ αὐτὰς, προσέταξε τῆς ἄλλης στρατιῆς προϊέναι πρὸς τὴν Κροίσου ἵππον, τῇ δὲ καμήλῳ ἕπεσθαι τὸν πεζὸν στρατὸν ἐκέλευε, ὄπισθε δὲ τοῦ πεζοῦ ἐπέταξε τὴν πᾶσαν ἵππον· ὡς δὲ οἱ πάντες διετετάχατο, παραίνεσε τῶν μὲν ἄλλων Λυδῶν μὴ φειδομένους,

[z] Ita olim Hom. Il. κ'. 431. —Μήονες ἱπποκορυσταὶ· qua voce, ſecundum Porphyr. Ζητ. Ομηρ. 15. poëta τὸν ἔφιππον ὁπλίτην σημαίνει.

[a] Hom. Od. ι'. 50.—ἐπισάμενοι μὲν ἀφ' ἵππων Ἀνδράσι μάρνασθαι.—

[b] iv. 175. ὁ δὲ λόφος οὗτος—δασὺς ἴδησι ἐστὶ, ἐούσης τῆς ἄλλης τῆς προκαταλιχθείσης Λιβύης ψιλῆς· et iv. 21. ψιλὴν καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων. Siquidem jam olim Hom. Il. ι'. 574.—τέμενος περικαλλὲς—τὸ μὲν ἥμισυ, οἰνοπέδοιο· Ἥμισυ δὲ, ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.

[c] Strab. xiii. 626. εἰς ὃν (Hermum ſc.) καὶ ὁ Ὕλλος ἐμβάλλει—συμπεσόντες δ' οἱ τρεῖς καὶ ἄλλοι ἀσημότεροι σὺν αὐτοῖς, εἰς τὴν κατὰ Φωκαίαν ἐκδιδόασι θάλατταν, ὡς Ἡρόδοτος φησίν.

κτείνειν πάντα τὸν ἐμποδὼν γενόμενον, Κροῖσον δὲ αὐτὸν μὴ κτείνειν, μηδ' ἢν συλλαμβανόμενος ἀμύνηται· ταῦτα μὲν παραίνεσε· τὰς δὲ καμήλους ἔταξε ἀντία τῆς ἵππου τῶνδε εἵνεκεν· κάμηλον ἵππος φοβέεται, καὶ οὐκ ἀνέχεται οὔτε τὴν ἰδέην αὐτῆς ὁρέων, οὔτε τὴν ὀδμὴν ὀσφραινόμενος· αὐτῶν δὴ ὧν τούτου εἵνεκε ἐσεσόφιστο, ἵνα τῷ Κροίσῳ ἄχρηστον ᾖ τὸ ἱππικὸν, τῷ δή τι καὶ ἐπεῖχε [d] ἐλλάμψεσθαι ὁ Λυδός· [e] ὡς δὲ καὶ συμμῖσαν ἐς τὴν μάχην, ἐνθαῦτα ὡς ὄσφραντο τάχιστα τῶν καμήλων οἱ ἵπποι, καὶ εἶδον αὐτὰς, ὀπίσω ἀνέστρεφον, διέφθαρτό τε τῷ Κροίσῳ ἡ ἐλπίς· οὐ μέντοι οἵ γε Λυδοὶ τὸ ἐνθεῦτεν δειλοὶ ἦσαν· ἀλλ' ὡς ἔμαθον τὸ γινόμενον, ἀποθορόντες ἀπὸ τῶν ἵππων, πεζοὶ τοῖσι Πέρσῃσι συνέβαλλον· χρόνῳ δὲ πεσόντων ἀμφοτέρων πολλῶν, ἐτράποντο οἱ Λυδοί, κατειληθέντες δὲ ἐς τὸ τεῖχος, ἐπολιορκέοντο ὑπὸ τῶν Περσέων. Τοῖσι μὲν δὴ κατεστήκεε πολιορκίη, 81 Κροῖσος δὲ δοκέων οἱ χρόνον ἐπὶ μακρὸν ἔσεσθαι τὴν πολιορκίην, ἔπεμπε ἐκ τοῦ τείχεος ἄλλους ἀγγέλους ἐς τὰς συμμαχίας· οἱ μὲν γὰρ πρότερον διεπέμποντο ἐς πέμπτον μῆνα προερέοντες συλλέγεσθαι ἐς Σάρδις, [f] τούτους

Cyrus per camelos victor.

[d] Ἐπεῖχε—(τὸν νῦν sc.) Ita 153. huj. ἐπ' οὓς ἐπεῖχε στρατηλατέειν· et vi. 96. ἐπὶ ταύτην—ἐπεῖχον στρατεύεσθαι—*in animo habebant*. Cf. S. Luc. Evang. xiv. 7.

[e] Eadem refert Xenophon in pugnæ hujus enarratione, K. Π. vii. 1. et Polyænus vii. 6.

[f] Huc fortaſſe vel potius ad 54. huj. ſpectant iſta Diodori, (Excerpt. ii. 553.) ὅτι Κροῖσος ὁ τῶν Λυδῶν βασιλεὺς, προσποιησάμενος εἰς Δελφοὺς πέμπειν, ἔπεμπεν εἰς Πελοπόννησον Εὐρύβατον τὸν Ἐφέσιον δῶρα αὐτῷ χρυσίον, ὅπως ὡς πλείστους ξενολογήσῃ τῶν Ἑλλήνων· ὁ δὲ πεμφθεὶς, πρὸς Κύρον τὸν Πέρσην ἀποχωρήσας τὰ κατὰ μέρος ἐδήλωσε· διὸ καὶ παρὰ τοῖς Ἕλλησιν ἐπισήμου γενομένης τῆς περὶ τὸν Εὐρύβατον ποιηρίας, μέχρι τοῦ νῦν ὅταν τις ὀνειδίσαι τινὶ βούληται μοχθηρίαν, Εὐρύβατον ἀποκαλεῖ. Eadem ex Ephoro Harpocration in v. Εὐρύβατος. Vid. autem Demoſth.

δὲ ἐξέπεμπε τὴν ταχίστην δέεσθαι βοηθέειν, ὡς πολιορκεομένου Κροίσου· ἔς τε δὴ ὦν τὰς ἄλλας ἔπεμπε συμμαχίας, καὶ δὴ καὶ ἐς Λακεδαίμονα.

Argivorum et Spartanorum certamina de Thyrea.

XVI. Τοῖσι δὲ ⊂ αὐτοῖσι τοῖσι Σπαρτιήτῃσι κατ' 82
αὐτὸν τοῦτον τόν χρόνον συνεπεπτώκεε ἔρις ἐοῦσα πρὸς Ἀργείους περὶ χώρου καλεομένου [g] Θυρέης· τὰς γὰρ Θυρέας ταύτας, ἐούσας τῆς Ἀργολίδος μοίρης, ἀποταμόμενοι ἔσχον οἱ Λακεδαιμόνιοι· ἦν δὲ καὶ ἡ μέχρι Μαλεῶν ἡ πρὸς ἑσπέρην Ἀργείων, ἥ τε ἐν τῇ ἠπείρῳ χώρη, καὶ ἡ Κυθηρίη νῆσος, καὶ αἱ λοιπαὶ τῶν νήσων· βοηθησάντων δὲ Ἀργείων τῇ σφετέρῃ ἀποταμνομένῃ, ἐνθαῦτα συνέβησαν ἐς λόγους συνελθόντες, ὥστε τριηκοσίους ἑκατέρων μαχέσασθαι· ὁκότεροι δ' ἂν περιγένωνται, τουτέων εἶναι τὸν χῶρον· τὸ δὲ πλῆθος τοῦ στρατοῦ ἀπαλλάσσεσθαι ἑκάτερον ἐς τὴν ἑωϋτοῦ, μηδὲ παραμένειν ἀγωνιζομένων, τῶνδε εἵνεκε, ἵνα μὴ παρεόντων τῶν στρατοπέδων, ὁρῶντες οἱ ἕτεροι ἑσσουμένους τοὺς σφετέρους, ἐπαμύνοιεν· συνθέμενοι ὦν ταῦτα ἀπαλλάσσοντο, λογάδες δὲ ἑκατέρων ὑπολειφθέντες συνέβαλλον, μαχομένων δὲ σφέων, καὶ γινομένων ἰσοπαλέων, ὑπελίποντο ἐξ ἀνδρῶν ἑξακοσίων τρεῖς [h], Ἀργείων μὲν, Ἀλκήνωρ τε καὶ Χρόμιος, Λακεδαιμονίων δὲ, Ὀθρυάδης· ὑπελείφθησαν δὲ οὗτοι νυκ-

περὶ στεφ. 233. et Æsch. in Ctesiph. 73.

[g] Sub rege sc. Theopompo, Nicandri f. Paus. iii. 7. cf. Paus. ii. 38. et Strab. viii. 376.

[h] ΣΙΜΩΝΙΔΟΥ. Οἵδε τριηκόσιοι, Σπάρτα πατρὶ, τοῖς συναρίθμοις Ἰναχίδαις Θυρέαν ἄμφι μαχεσσάμενοι, Αὐχένας οὐ στρέψαντες, ὅπα ποδὸς ἴχνια πρᾶτον Ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν. Ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον Καρύσσει· Θυρέα, Ζεῦ, Λακεδαιμονίων. Αἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἧς ἀπ' Ἀδράστου· Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος. Anal. Brunck. i. 130. 26.

τὸς ἐπελθόσης οἱ μὲν δὴ δύο τῶν Ἀργείων, ὡς νενικηκότες ἔθεον ἐς τὸ Ἄργος· ὁ δὲ τῶν Λακεδαιμονίων Ὀθρυάδης, σκυλεύσας τὸς Ἀργείων νεκρὸς, καὶ προσφορήσας τὰ ὅπλα πρὸς τὸ ἑωυτᾶ στρατόπεδον, ἐν τῇ τάξει εἶχε ἑωυτόν· ἡμέρῃ δὲ δευτέρῃ παρῆσαν πυνθανόμενοι ἀμφότεροι· τέως μὲν δὴ αὐτοὶ ἑκάτεροι ἔφασαν νικᾶν· λέγοντες, οἱ μὲν, ὡς ἑωυτῶν πλεῦνες φεύγοιεν, οἱ δὲ, τὸς μὲν ἀποφαίνοντες φεύγοτας, τ δὲ σφέτερον παραμείναντα, καὶ σκυλεύσαντα τὸς ἐκείνων νεκρός· τέλος δὲ, ἐκ τ ἔριδος συμπεσόντες ἐμάχοντο· πεσόντων δὲ καὶ ἀμφοτέρων πολλῶν, ἐνίκων Λακεδαιμόνιοι[i]. Ἀργεῖοι μέν νυν ἀπὸ τότε τᾶ χρόνε καπακειράμενοι τὰς κεφαλὰς, πρότερον ἐπάναγκες κομῶντες, ἐποιήσαντο νόμον τε καὶ κατάρην, μὴ πρότερον θρέψειν κόμην Ἀργείων μηδένα, μηδὲ τὰς γυναῖκάς σφι χρυσοφορήσειν, [k] πρὶν ἂν Θυρέας ἀνασώσωντα. Λακεδαιμόνιοι δὲ τὰ ἐναντία τότων ἔθεντο νόμον, ὃ γὰρ [l] κομῶντες πρὸ τότε, ἀπὸ τότε [m] κομᾶν. Τὸν δὲ ἕνα λέγεσι τὸν πελευφθέντα τῶν τριηκοσίων, [n] Ὀθρυάδην, αἰσχυνόμενον ἀπονοσέειν ἐς Σπάρτην τῶν οἱ

Othryades Laco victor.

Votum Argivorum.

[i] Thucydides (v. 41.) victoriam in dubio fuisse innuit. Cf. Pausan. x. 9. Cæterum ab Athenæo (xv. 678.) memorantur Θυρεατικοὶ στέφανοι παρὰ Λακεδαιμονίοις — φέρειν δ' αὐτὸς ὑπόμνημα τῆς ἐν Θυρέᾳ γενομένης νίκης τὰς προσάτας τῶν ἀγόμενων χορῶν ἐν τῇ ἑορτῇ ταύτῃ, ὅτε καὶ τὰς γυμνοπαιδιὰς ἐπιτελεῖσι.

[k] Hinc Plat. in Phædon. 89. ἔνορκον ἂν ποιησαίμην, ὥσπερ Ἀργεῖοι, μὴ πρότερον κομήσειν πρὶν ἂν νικήσω ἀναμαχόμενος.

[l] Γὰρ omnino delendum censet Reiskius.

[m] Xenophon autem (Λ. Π. xi. 3.) Lycurgum Spartanis promissæ comæ alendæ auctorem fuisse inquit. Cf. Plutarch. in Lysandro, sub initio.

[n] ΝΙΚΑΝΔΡΟΥ. Ζεῦ πάτερ, Ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον, Ὃς μόνος ἐκ Θυρέας ἐκ ἐθέλησε μολεῖν Παλρὶδ' ἐπὶ Σπάρλαν, διὰ δὲ ξίφος ἤλασε πλευρᾶν, Δεῦλα καλαγραψας σκῦλα καλ' Ἰναχιδᾶν. Anal. Brunck. ii. 2. 2.

συλλογιτέων διεφθαρμένων, αὐτὸν μιν ἐν τῇσι Θυρέῃσι [o]καταχρήσασθαι ἑωϋτόν.

Sardianus caduceator Spartæ.

XVII. Τοιούτων δὲ τοῖσι Σπαρτιήτῃσι ἐνεχθέντων 83 πρηγμάτων, ἦκε ὁ Σαρδιηνὸς κήρυξ, δεόμενος Κροίσῳ βοηθέειν πολιορκεομένῳ· οἱ δὲ ὅμως, ἐπεί τε ἐπύθοντο τὸν κήρυκος, ὁρμέατο βοηθέειν· καί σφι ἤδη παρεσκευασμένοισι, καὶ νεῶν ἐσέων ἑτοίμων, ἦλθε ἄλλη ἀγγελίη, ὡς ἡλώκοι τὸ τεῖχος τῶν Λυδῶν, καὶ ἔχοιτο Κροῖσος ζωγρηθείς· ὕστω δὴ ὅτοι μὲν συμφορὴν ποιησάμενοι μεγάλην, ἐπέπαυντο. Σάρδιες δὲ ἥλωσαν ὧδε· ἐπειδὴ τεσ- 84

Sardium expugnatio.

σαρεσκαιδεκάτη ἐγένετο ἡμέρη πολιορκεομένῳ Κροίσῳ, Κῦρος τῇ στρατιῇ τῇ ἑωϋτοῦ, διαπέμψας ἱππέας, προεῖπε, τῷ πρώτῳ ἐπιβάντι τοῦ τείχεος δῶρα δώσειν· μετὰ δὲ τοῦτο, πειρησαμένης τῆς στρατιῆς, ὡς ὁ [p]προεχώρεε, ἐνθαῦτα τῶν ἄλλων πεπαυμένων, ἀνὴρ Μάρδος ἐπειρᾶτο προσβαίνων, τῷ οὔνομα ἦν Ὑροιάδης, κατὰ τοῦτο [q]ἀκροπόλιος τῇ οὐδεὶς ἐτέτακτο φύλακος· οὐ γὰρ ἦν δεινὸν κατὰ τοῦτο μὴ ἁλῷ κοτέ· ἀπότομός τε γάρ ἐστι ταύ-

Meles rex.

τῃ ἡ ἀκρόπολις, καὶ ἄμαχος· τῇ οὐδὲ Μήλης ὁ πρότερον βασιλεὺς Σαρδιῶν μούνη ὁ περιήνεικε τὸν Λέοντα, τὸν οἱ ἡ παλλακὴ ἔτεκε, Τελμησσέων δικασάντων[q], ὡς περιενειχθέντος τοῦ Λέοντος τὸ τεῖχος, ἔσονται Σάρδιες ἀνάλωτοι· ὁ δὲ Μήλης κατὰ τὸ ἄλλο τεῖχος περιενείκας, τῇ ἦν ἐπίμαχον[r] τὸ χωρίον τῆς ἀκροπόλιος, καὶ ἡλόγησε

[o] Aliter Pausanias (ii. 20.) Othryadem a Perilao Alcenoris f. Argivo occisum memorat.

[p] Conf. v. 62. viii. 102.

[q] Εἰκασάντων ex conjectura Valkenaerius legendum censet.

[r] Hesych. ἐπίμαχον χωρίον, ᾧ δύναταί τις προσιέναι μαχόμενος. Homero est ἐπίδρομον. Hom. Il. Z'. 434.

τούτῳ, ὡς ἐὸν ἄμαχόν τε καὶ ἀπότομον· ἔστι δὲ πρὸς τοῦ Τμώλου τετραμμένον τῆς πόλιος· ὁ ὢν δὴ Ὑροιάδης αὐτὸς ὁ Μάρδος, ἰδὼν τῇ προτεραίῃ τῶν τινα Λυδῶν κατὰ τοῦτο τῆς ἀκροπόλιος καταβάντα ἐπὶ κυνέην ἄνωθεν καλακυλιθεῖσαν, καὶ ἀνελόμενον, ἐφράσθη, καὶ ἐς θυμὸν ἐβάλετο· τότε δὲ δὴ ὁ αὐτός τε ἀναβεβήκεε, καὶ κατ' αὐτὸν ἄλλοι Περσέων ἀνέβαινον· προσβάντων δὲ συχνῶν, οὕτω δὴ Σάρδιές τε ἡλώκεσαν[s], καὶ πᾶν τὸ ἄστυ ἐπορθέετο. Murus ab Hyrœade primo conſcenſus.

85 XVIII. Κατ' αὐτὸν δὲ Κροῖσον τάδε ἐγένετο· ἦν οἱ παῖς, τοῦ ἐγὼ πρότερον ἐπεμνήσθην, τὰ μὲν ἄλλα ἀξιωκὴς, ἄφωνος δέ· ἐν τῇ ὧν παρελθούσῃ [t]εὐεργοῖ ὁ Κροῖσος τὸ πᾶν ἐς αὐτὸν ἐπεποιήκεε, ἄλλα τε δόκιμάζόμενος, καὶ δὴ καὶ ἐς Δελφοὺς περὶ αὐτοῦ ἐπεπόμφεε χρησομένους· ἡ δὲ Πυθίη οἱ εἶπε τάδε·

Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
Μὴ βάλλ' πολύευκτον ἐὴν [x] ἀνὰ δώματ' ἀκούειν
Παιδὸς φθεγγομένης· τάδε σοι πολὺ λώϊον ἀμφὶς
Ἔμμεναι· αὐδήσει γὰρ ἐν ἤματι πρώτην ἀνόλβῳ.

Ἁλισκομένης δὲ τοῦ τείχεος, ἦιε γάρ τῶν τις Περσέων ἀλλογνώσας Κροῖσον ὡς ἀποκλινέων, Κροῖσος μέν νυν ὀρέων ἐπιόντα, ὡς τῆς παρεούσης συμφορῆς πάρημε-

[s] Cf. Polyæn. vii. 6. cf. etiam Polyb. vii. 15—18. de Sardibus a Lagora captis: apud Xenophontem autem K. Π. vii. 2. non Hyrœades Mardus, ſed ἀνὴρ Πέρσης, δοῦλος γεγενημένος τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρουρῶν, καὶ καταμεμαθηκὼς καταβασιν εἰς τὸ πολεμιον καὶ ἀναβασιν τὴν αὐτὴν, in arcem primus aſcendiſſe dicitur. In cæteris nulla diverſitas. De Sardibus autem Strabo xiii. 627.

[t] Æſchyl. Sept. contra Theb. 192. Μήτ' ἐν κακοῖσι, μήτ' ἐν εὐεργοῖ φίλῃ.

[x] Æſchyl. Perſ. 932. Κακομέλετον ἰάν. Eurip. Rheſ. 554. Σύριγγος ἰάν.

λήκεε, οὐδέ τι οἱ διέφερε πληγέντι ἀποθανέειν, ὁ δὲ παῖς οὗτος ὁ ἄφωνος, ὡς εἶδε ἀπόντα τὸν Πέρσην, ὑπὸ δεύς τε καὶ κακῶ ἔρρηξε φωνήν· εἶπε δὲ, "Ἄνθρωπε, μὴ "κτεῖνε Κροῖσον." Οὗτος μὲν δὴ τοῦτο πρῶτον ἐφθέγξατο, μετὰ δὲ τοῦτο ἤδη ἐφώνεε τὸν πάντα χρόνον τῆς ζόης.

XIX. Οἱ δὲ Πέρσαι τάς τε δὴ Σάρδις εἶχον, καὶ 86
αὐτὸν Κροῖσον ἐζώγρησαν, ἄρξαντα ἔτεα τεσσαρεσκαίδεκα, καὶ τεσσαρεσκαίδεκα ἡμέρας πολιορκηθέντα, κατὰ τὸ χρηστήριόν τε καταπαύσαντα τὴν ἑωυτοῦ μεγάλην ἀρχήν· λαβόντες δὲ αὐτὸν οἱ Πέρσαι ἤγαγον παρὰ Κῦρον· ὁ δὲ, σωρὸν[y] μεγάλην, ἀνεβίβασεν ἐπ' αὐτὴν τὸν Κροῖσόν τε ἐν πέδῃσι δεδεμένον, καὶ δὶς ἑπτὰ Λυδῶν παρ' αὐτὸν παῖδας, ἐν νόῳ ἔχων εἴτε δὴ ἀκροθίνια ταῦτα καταγιεῖν θεῶν ὁτεῳδή, εἴτε καὶ ὀχλὼ ἀποτελέσαι θέλων, εἴτε καὶ, πυθόμενος τὸν Κροῖσον εἶναι θεοσεβέα, τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρήν, βουλόμενος εἰδέναι εἴ τις μιν δαιμόνων ῥύσεται τοῦ μὴ ζῶντα καταπρησθῆναι· τὸν μὲν δὴ ποιέειν ταῦτα· τῷ δὲ Κροίσῳ ἑζομένῳ ἐπὶ τῆς πυρῆς, ἐσελθεῖν, καίπερ ἐν κακῷ ἐόντι τοσούτῳ, τὸ τοῦ Σόλωνος, ὡς οἱ εἴη σὺν θεῷ εἰρημένον, τὸ Μηδένα εἶναι τῶν ζώντων ὄλβιον· ὡς δὲ ἄρα μιν προσῆναι τοῦτο, ἀνενεικάμενόν[z] τε καὶ ἀναστενάξαντα ἐκ πολλῆς ἡσυχίης, ἐς τρὶς ὀνομάσαι, [a]Σόλωνα· καὶ τὸν Κῦρον ἀκούσαντα, κελεῦσαι τοὺς ἑρμηνέας ἐπείρεσθαι τὸν Κροῖσον, τίνα τοῦτον ἐπικαλέοιτο· καὶ τοὺς προσελθόν-

Crœsi comburendi exclamatio.

87

[y] Nihil de hac Cyri crudelitate retulit neque Xenophon, neque ipse Cteſias, utcunque alia multa admiſcens prodigioſa.

[z] Hom. Il. Τ'. 314. Μησάμενος δ' ἀδινῶς ἀνενείκατο φώνησέν τε. Et cf. 116. huj.

[a] Cf. Plut. in Solon. 94.

τας ἐπειρωτᾷν. Κροῖσον δὲ τέως μὲν σιγὴ ἔχειν ἐρωτεώμενον· μετὰ δὲ, ὡς ἠναγκάζετο, εἰπεῖν, "Τὸν ἂν "ἐγὼ πᾶσι τυράννοισι προετίμησα μεγάλων χρημά-"των ἐς λόγους ἐλθεῖν." ὡς δὲ σφι ἄσημα ἔφραζε, πάλιν ἐπειρώτεον τὰ λεγόμενα· λιπαρεόντων δὲ αὐτῶν, καὶ ὄχλον παρεχόντων, ἔλεγε δὴ, ὡς ἦλθε ἀρχὴν ὁ Σόλων ἐὼν Ἀθηναῖος, καὶ θεησάμενος πάντα τὸν ἑωυτοῦ ὄλβον, ἀποφλαυρίσειε· οἷα δὴ εἰπὰς, ὥστε αὐτῷ πάντα ἀπεβεβήκεε οἱ, τῆπερ ἐκεῖνος εἶπε· οὐδέν τι μᾶλλον ἐς ἑωυτὸν λέγων, ἢ ἐς ἅπαν τὸ ἀνθρώπινον, καὶ μάλιστα τοὺς παρὰ σφίσι αὐτοῖσι δοκέοντας ὀλβίους εἶναι· τὸν μὲν Κροῖσον ταῦτα ἀπηγέεσθαι· τὸ δὲ πυρῆς ἤδη ἁψμένης, καίεσθαι τὰ ἐπιτήδεα· καὶ τὸν Κῦρον ἀκούσαντα τῶν ἑρμηνέων τὰ εἶπε Κροῖσος, μεταγνόντα τε, καὶ ἐννώσαντα ὅτι καὶ αὐτὸς ἄνθρωπος ἐὼν, ἄλλον ἄνθρωπον, ζηλώμενον ἑωυτοῦ εὐδαιμονίῃ οὐκ ἐλάσσω, ζῶντα πυρὶ διδοίη, πρός τε τούτοισι, δείσαντα τὴν τίσιν, καὶ ἐπιλεξάμενον ὡς οὐδὲν εἴη τῶν ἐν ἀνθρώποισι ἀσφαλέως ἔχον, κελεύει σβεννύναι τὴν ταχίστην τὸ καιόμενον πῦρ, καὶ καταβιβάζειν Κροῖσόν τε καὶ τοὺς μετὰ Κροίσου· οἳ δὲ, πειρω-
87 μένους οὐ δυνάσθαι ἔτι τοῦ πυρὸς ἐπικρατῆσαι. Ἐνθαῦτα λέγεται ὑπὸ Λυδῶν Κροῖσον μαθόντα τὴν Κύρου μετάγνωσιν, ὡς ὥρα πάντα μὲν ἄνδρα σβεννύντα τὸ πῦρ, δυναμένους δὲ οὐκέτι καταλαβεῖν, ἐπιβώσασθαι, τὸν Ἀπόλλωνα ἐπικαλεόμενον, εἴ τί οἱ κεχαρισμένον ἐξ αὐτοῦ ἐδωρήθη, παρστῆναι, καὶ ῥύσασθαί μιν ἐκ τοῦ παρεόντος κακοῦ· τὸν μὲν, δακρύοντα ἐπικαλέεσθαι τὸν θεόν· ἐκ δὲ αἰθρίης τε καὶ νηνεμίης συνδραμεῖν ἐξαπίνης νέφεα, καὶ χειμῶνά τε καταρραγῆναι, καὶ ὗσαι ὕδατι

λαβροτάτῳ[b], κατασβεσθῆναί τε τὴν πυρήν· οὕτω δὴ μαθόντα τὸν Κῦρον, ὡς εἴη ὁ Κροῖσος καὶ θεοφιλὴς καὶ ἀνὴρ ἀγαθὸς, καταβιβάσαντα αὐτὸν ἀπὸ τῆς πυρῆς, εἴρεσθαι τάδε, "Κροῖσε, τίς σε ἀνθρώπων ἀνέγνωσε, ἐπὶ γῆν "τὴν ἐμὴν στρατευσάμενον, πολέμιον ἀντὶ φίλου ἐμοὶ "καταστῆναι;" Ὁ δὲ εἶπε, "Ὦ βασιλεῦ, ἐγὼ ταῦτα "ἔπρηξα τῇ σῇ μὲν εὐδαιμονίῃ, τῇ ἐμεωϋτοῦ δὲ κα-"κοδαιμονίῃ· αἴτιος[c] δὲ τούτων ἐγένετο ὁ Ἑλλήνων θεὸς, "ἐπάρας ἐμὲ στρατεύεσθαι· οὐδεὶς γὰρ οὕτω ἀνόητός "ἐστι, ὅς τις πόλεμον πρὸ εἰρήνης αἱρέεται· ἐν μὲν γὰρ "τῇ οἱ παῖδες τοὺς πατέρας θάπτουσι, ἐν δὲ τῷ, οἱ "πατέρες τοὺς παῖδας· ἀλλὰ ταῦτα δαίμοσί κου φίλον "ἦν οὕτω γενέσθαι." Ὁ μὲν ταῦτα ἔλεγε· Κῦρος 88
δὲ αὐτὸν λύσας κάτισέ τε ἐγγὺς ἑωϋτοῦ, καὶ κάρτα ἐν πολλῇ προμηθίῃ εἶχε· [d] ἀπεθωύμαζέ τε ὁρέων καὶ αὐτὸς, καὶ οἱ περὶ ἐκεῖνον ἐόντες πάντες· ὁ δὲ, συννοίῃ ἐχόμενος, ἥσυχος ἦν· μετὰ δὲ, ἐπιστραφείς τε καὶ ἰδόμενος τοὺς Πέρσας τὸ τῶν Λυδῶν ἄστυ [e] κεραΐζοντας, εἶπε, "Ὦ βασιλεῦ, κότερον λέγειν πρός σε τὰ νοέων "τυγχάνω, ἢ σιγᾷν ἐν τῷ παρεόντι χρόνῳ χρή;" Κῦρος δέ μιν θαρσέοντα ἐκέλευε λέγειν ὅ, τι βούλοιτο· ὁ δὲ αὐτὸν εἰρώτα, λέγων, "Οὗτος ὁ πολλὸς ὅμιλος τί "ταῦτα σπουδῇ πολλῇ ἐργάζεται;" Ὁ δὲ εἶπε· "Πόλιν

Crœsus consilio servat Sardes.

[b] Hom. Il. Π'. 385.—ὅτε λαβρότατον χέει ὕδωρ Ζεύς.—

[c] Hom. Il. Τ'. 86.—ἐγὼ δ' οὐκ αἴτιός εἰμι, Ἀλλὰ Ζεύς.—cf. et Ibid. 270—274.

[d] Hom. Il. Ω'. 629. Ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα, Ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει. Αὐτὰρ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς, Εἰσορόων ὄψιν τ' ἀγαθήν.—

[e] Hom. Il. Π'. 830. Πάτροκλ' ἤπου ἔφησθα πόλιν κεραϊζέμεν ἁμήν· et Ω'. 245.—ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε.

" τε τὴν σὴν διαρπάζει, καὶ χρήματα τὰ σὰ διαφορέει."
Κροῖσος δὲ ἀμείβετο· " Οὔτε πόλιν τὴν ἐμὴν, οὔτε χρή-
" ματα τὰ ἐμὰ διαρπάζει· οὐδὲν γάρ ἐμοι ἔτι τούτων
89 " μέτα· ἀλλὰ φέρουσί τε[f] καὶ ἄγουσι τὰ σά." Κύρῳ
δὲ ἐπιμελὲς ἐγένετο τὰ Κροῖσος εἶπε· μεταστησάμενος
δὲ τοὺς ἄλλους, εἴρετο Κροῖσον ὅ, τι οἱ ἐνορῴη ἐν τοῖσι
ποιευμένοισι. Ὁ δὲ εἶπε· " Ἐπεί τέ με θεοὶ δῶκαν δοῦ-
" λόν σοι, δικαιῶ, εἴ τι ἐνορῶ πλέον, σημαίνειν σοι.
" Πέρσαι, φύσιν ἐόντες ὑβρισταὶ, εἰσὶ ἀχρήματοι· ἢν ὦν Persæ natura insolentes.
" συ τούτους περιΐδῃς διαρπάσαντας καὶ κατασχόντας
" χρήματα μεγάλα, τάδε τοι ἐξ αὐτέων ἐπίδοξα γενέσ-
" θαι· ὃς ἂν αὐτέων πλεῖστα κατάσχῃ, τοῦτον προσδέ-
" κεσθαί τοι ἐπαναστησόμενον· νῦν ὦν ποίησον ὧδε, εἴ τοι
" ἀρέσκοι τὰ ἐγὼ λέγω· κάτισον τῶν δορυφόρων ἐπὶ
" πάσῃσι τῇσι πύλῃσι φυλάκους, οἳ λεγόντων πρὸς τοὺς
" ἐκφέροντας τὰ χρήματα ἀπαιρεόμενοι, ὥς σφεα ἀν-
" αγκαίως ἔχει δεκατευθῆναι τῷ Διΐ· καὶ σύ τέ
" σφι οὐκ ἀπεχθήσεαι βίῃ ἀπαιρεόμενος τὰ χρήματα,
" καὶ ἐκεῖνοι συγγνόντες ποιέειν σε δίκαια, ἑκόντες ποιή-
90 " σουσι[g]." Ταῦτα ἀκούων ὁ Κῦρος ὑπερήδετο, ὥς οἱ
ἐδόκεε εὖ[h] ὑποτίθεσθαι· αἰνέσας δὲ πολλὰ, καὶ ἐντειλά-
μενος τοῖσι δορυφόροισι τὰ Κροῖσος ὑπεθήκατο ἐπιτε-
λέειν, εἶπε πρὸς Κροῖσον τάδε· " Κροῖσε, [i]ἀναρτημένου

[f] Hom. Il. Ε'. 483.—ἀτὰρ οὔτι μοι ἐνθάδε τοῖον, Οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ, ἤ κεν ἄγοιεν.

[g] Non plane eadem, nec tamen diversa penitus de Cyri Crœsique mutuis sermonibus retulit Xenoph. Κ. Π. vii. 2.

[h] Hom. Il. Λ'. 787. Ἀλλ' εὖ οἱ φάσθαι πυκινὸν ἔπος, ἠδ' ὑποθέσθαι· et alibi sæpe; etiam, ut in hoc loco, sine accusativo; Odys. Α'. 279. Β'. 194.

[i] vi. 88. μαθὼν—ἀναρτημένους ἔρδειν Αἰγινήτας κακῶς.

" σεῦ ἀνδρὸς βασιλέος[k] χρηστὰ ἔργα καὶ ἔπεα ποιέειν,
" αἴτεο δόσιν τήν τινα βούλεαί τοι γενέσθαι παραυτίκα."
Ὁ δὲ εἶπε· " Ὦ δέσποτα, ἐάσας με χαριῇ μάλιστα τὸν
" θεὸν τῶν Ἑλλήνων, τὸν ἐτίμησα ἐγὼ θεῶν μάλιστα,
" ἐπείρεσθαι, πέμψαντα τάσδε τὰς πέδας, εἰ ἐξαπα-
" τᾷν τοὺς εὖ ποιεῦντας νόμος ἐστί οἱ." Κῦρος δὲ εἴρετο
ὅ, τι οἱ τοῦτο ἐπηγορεύων παραιτέοιτο. Κροῖσος δέ οἱ
ἐπανηλόγησε πᾶσαν τὴν ἑωϋτοῦ διάνοιαν, καὶ τῶν χρη-
στηρίων τὰς ὑποκρισίας, καὶ μάλιστα τὰ ἀναθήματα·
καὶ ὡς ἐπαρθεὶς τῷ μαντηΐῳ, ἐστρατεύσατο ἐπὶ Πέρσας·
λέγων δὲ ταῦτα, κατέβαινε αὖτις παραιτεόμενος,
ἐπεῖναί οἱ τῷ θεῷ τούτων ὀνειδίσαι. Κῦρος δὲ γελάσας
εἶπε, " Καὶ τούτου τεύξεαι παρ' ἐμεῦ, Κροῖσε, καὶ ἄλλου
" παντὸς τοῦ ἂν ἑκάστοτε δέῃ." Ὡς δὲ ταῦτα ἤκουσε ὁ
Κροῖσος, πέμπων τῶν Λυδῶν ἐς Δελφοὺς, ἐνετέλλετο,
τιθέντας τὰς πέδας ἐπὶ τοῦ νηοῦ τὸν οὐδὸν, εἰρωτᾷν εἰ
οὔ τι ἐπαισχύνεται, τοῖσι μαντηΐοισι ἐπάρας Κροῖσον
στρατεύεσθαι ἐπὶ Πέρσας, ὡς καταπαύσοντα τὴν Κύρου
δύναμιν, ἀπ' ἧς οἱ ἀκροθίνια τοιαῦτα γενέσθαι, δεικ-
νύντας τὰς πέδας· ταῦτά τε ἐπειρωτᾷν, καὶ εἰ ἀχα-
ρίστοισι νόμος εἶναι τοῖσι Ἑλληνικοῖσι θεοῖσι. Ἀπικο- 91
μένοισι δὲ τοῖσι Λυδοῖσι, καὶ λέγουσι τὰ ἐντεταλμένα,
τὴν Πυθίην λέγεται εἰπεῖν τάδε· " Τὴν πεπρωμένην
" μοίρην ἀδύνατά ἐστι ἀποφυγέειν καὶ θεῷ. Κροῖσος
" δὲ [l]πέμπτου γονέος ἁμαρτάδα ἐξέπλησε, ὃς ἐὼν
" δορυφόρος Ἡρακλειδέων, δόλῳ γυναικηΐῳ ἐπισπό-

[k] Pleonaſmus Græcis familiaris. Hom. Il. Γ'. 170.— βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικε. Eurip. Suppl. 446. Ἀνὴρ δὲ βασιλεὺς ἐχθρὸν ἡγεῖται τόδε.

[l] Vid. 13. huj.

" μενος[m], ἐφόνευσε τ' δεσπότεα, κ' ἔσχε τ' ἐκείνυ τιμὴν
" ἀδὲν οἱ ωροσήκυσαν· ωροθυμεομένυ δὲ Λοξίεω ὅκως
" ἂν κατὰ τὰς ωαῖδας τὰς Κροίσυ γένοιτο τὸ Σαρδίων
" ωάθος, κ' μὴ κατ' αὐτὸν Κροῖσον, οὐκ οἷόν τε ἐγέ-
" νετο ωαραλαγεῖν μοίρας· ὅσον δὲ ἐνέδωκαν αὐταῖ
" ἠνύσατο, καὶ ἐχαρίσατό οἱ· τρία γὰρ ἔτεα ἐπανεβά-
" λετο τ' Σαρδίων ἄλωσιν· κ' τοῦτο ὀπιζάθω Κροῖσος,
" ὡς ὕστερον τοῖσι ἕτεσι τούτοισι ἀλοὺς τῆς ωεπρωμένης·
" δεύτερα δὲ τούτων, καιομένῳ αὐτῷ ἐπήρκεσε· κατὰ
" δὲ τὸ μαντήϊον τὸ γενόμενον, οὐκ ὀρθῶς Κροῖσος
" μέμφεται· ωροηγόρευε γάρ οἱ Λοξίης, ἢν στρατεύηται
" ἐπὶ Πέρσας, μεγάλυ ἀρχὴν αὐτὸν καταλύσειν· τὸν
" δὲ ωρὸς ταῦτα χρῆν εὖ μέλλοντα βυλεύεσθαι ἐπεί-
" ρεσθαι πέμψαντα, κότερα τὴν ἑωυτοῦ ἢ τὴν Κύρυ λέ-
" γοι ἀρχήν· οὐ συλλαβὼν δὲ τὸ ῥηθὲν, οὐδ' ἐπανειρό-
" μενος, ἑωυτὸν αἴτιον ἀποφαινέτω· ᾧ κ' τὸ τελευταῖον
" χρησηριαζομένῳ εἶπε τὰ εἶπε Λοξίης ωερὶ ἡμιόνυ· ἀδὲ
" τοῦτο σωέβαλε· ἦν γὰρ δὴ ὁ Κῦρος οὗτος ἡμίονος· ἐκ Cyrus mulus.
" γὰρ δυοῖν οὐκ ὁμοεθνέων ἐγεγόνεε, μητρὸς ἀμείνονος,
" ωατρὸς δὲ ὑποδεεστέρυ· ἡ μὲν γὰρ ἦν Μηδὶς, καὶ
" Ἀσυάγεος θυγάτηρ τοῦ Μήδων βασιλέος, ὁ δὲ,
" Πέρσης τε ἦν, κ' ἀρχόμενος ὑπ' ἐκείνοισι, κ' ἔνερθε
" ἐὼν τοῖσι ἅπασι, δεσποίνῃ τῇ ἑωυτοῦ συνοίκεε."
Ταῦτα μὲν ἡ Πυθίη ὑπεκρίνατο τοῖσι Λυδοῖσι· οἱ δὲ
ἀνήνεικαν ἐς Σάρδις, κ' ἀπήγγειλαν τῷ Κροίσῳ· ὁ δὲ,
ἀκούσας, σωέγνω ἑωυτοῦ εἶναι τὴν ἁμαρτάδα, καὶ οὐ

[m] Hom. Od. Γ'. 215.—ἐπισπόμενοι θεῷ ὄμφῃ. Soph. Elect. 967. Ἀλλ' ἦν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασι.

τοῦ θεοῦ. Κατὰ μὲν δὴ τὴν Κροίσου τε ἀρχὴν, καὶ Ἰωνίης τὴν πρώτην καλεομένην, ἔχε οὕτω.

XX. Κροίσῳ δὲ ἔστι καὶ ἄλλα ἀναθήματα ἐν τῇ Ἑλλάδι πολλὰ, καὶ οὐ τὰ εἰρημένα μοῦνα· ἐν μὲν δὴ Θηβῃσι τῇσι Βοιωτῶν τρίπους χρύσεος, τὸν ἀνέθηκε τῷ Ἀπόλλωνι [n] τῷ Ἰσμηνίῳ· ἐν δὲ Ἐφέσῳ, αἵ τε βόες αἱ χρύσεαι, καὶ τῶν λιόνων [o] αἱ πολλαί· ἐν δὲ [p] Προνηίης τῆς ἐν Δελφοῖσι, ἀσπὶς χρυσέη μεγάλη· ταῦτα μὲν καὶ ἔτι ἐς ἐμὲ ἦν πρηγέοντα, τὰ δ' ἐξαπόλωλε τὰ τῶν ἀναθημάτων· τὰ δ' ἐν Βραγχίδῃσι [q] τῇσι Μιλησίων ἀναθήματα Κροίσῳ, ὡς ἐγὼ πυνθάνομαι, ἴσα τε σταθμὸν καὶ ὅμοια τοῖσι ἐν Δελφοῖσι· τὰ μέν νυν ἐς τε Δελφοὺς καὶ ἐς τοῦ Ἀμφιάρεω ἀνέθηκε, οἰκήιά τε ἐόντα, καὶ τῶν πατρώων χρημάτων ἀπαρχήν· τὰ δὲ ἄλλα ἀναθήματα ἐξ ἀνδρὸς ἐγένετο οὐσίης ἐχθροῦ, ὅς οἱ, πρὶν ἢ βασιλεῦσαι, ἀνίστασιώτης κατεστήκεε, συμπεύδων Πανταλέοντι γενέσθαι τὴν Λυδῶν ἀρχήν. Ὁ δὲ Πανταλέων ἦν Ἀλυάττεω μὲν παῖς, Κροίσου δὲ ἀδελφεὸς οὐκ ὁμομήτριος· Κροῖσος μὲν γὰρ ἐκ Καείρης τῆς γυναικὸς Ἀλυάττῃ, Πανταλέων δὲ ἐξ Ἰάδος. Ἐπεί τε δὲ, δόντος τοῦ πατρὸς, ἐ-

Donaria Crœsi Thebis et Ephesi.

Pantaleon filius Alyattæ.

[n] Ἔστι δὲ λόφος ἐν δεξιᾷ τῶν πυλῶν (Thebarum sc.) ἱερὸς Ἀπόλλωνος· καλεῖται δὲ ὅ τε λόφος καὶ ὁ θεὸς Ἰσμήνιος, παραῤῥέοντος τὸν ποταμὸν ταύτην τὴν Ἰσμηνίην. Pausan. ix. 10. ubi de hoc delubro alia multa.

[o] Ita Hom. Od. A'. 53.— ἔχει δέ τε λίονας αὐτὸς Μακρείς· — in fœminino sc. genere, quemadmodum et Od. A'. 127. P'. 29. X'. 176, 193, 466. Ψ'. 90. at in masculi. Θ'. 66, 473. T'. 38. et ita fere semper prosæ scriptores.

[p] Minervæ sc. prout diserte scribitur viii. 37, et 39. Προναίης nimirum dictæ διὰ τὸ πρὸ τοῦ νεὼ τοῦ ἐν Δελφοῖς ἑστάναι αὐτήν. Mendose apud Paus. x. 8. Προνοία legitur. Cf. autem ipsum Paus. de templi Ismenii Προναίοις. ix. 10.

[q] Vid. ii. 159.

κράτησε τῆς ἀρχῆς ὁ Κροῖσος, τὸν ἄνθρωπον τὸν ἀνιπρήσοντα ἐπὶ κνάφῳ [r] ἕλκων διέφθειρε· τὴν δὲ οὐσίαν αὐτοῦ ἔτι πρότερον καλιρώσας, τότε τρόπῳ τῷ εἰρημένῳ ἀνέθηκε ἐς τὰ ἱρήτατα. Καὶ πρὶ μὲν ἀναθημάτων τοσαῦτα εἰρήσθω.

93 XXI. Θωῦμαλα δὲ γῆ Λυδίη ἐς συγγραφὴν οὐ μάλα ἔχει, οἷά τε καὶ ἄλλη χώρη, παρεξ τοῦ ἐκ τοῦ Τμώλου καταφερομένου [s] ψήγμαλος. Ἐν δὲ ἔργον πολλὸν μέγιστον παρέχεται, χωρὶς τῶν τε Αἰγυπλίων ἔργων καὶ τῶν Βαβυλωνίων. Ἔστι αὐτόθι Ἀλυάτλεω τοῦ Κροίσου πατρὸς σῆμα [t], τοῦ ἡ κρηπὶς μέν ἐστι λίθων μεγάλων, τὸ δὲ ἄλλο σῆμα, χῶμα γῆς· ἐξεργάσαντο δέ μιν οἱ ἀγοραῖοι ἄνθρωποι, καὶ οἱ χειρώνακτες, καὶ αἱ ἐνεργαζόμεναι παιδίσκαι· σῦροι δὲ πέντε ἑόντες, ἔτι καὶ ἐς ἐμὲ ἦσαν ἐπὶ τοῦ σήματος ἄνω· καὶ σφι γράμματα ἐνεκεκόλαπτο, τὰ ἕκαστοι ἐξεργάσαντο· καὶ ἐφαίνετο μετρεόμενον τὸ τῶν παιδισκέων ἔργον ἐὸν μέγιστον· τῇ γὰρ δὴ Λυδῶν δήμου αἱ θυγατέρες πορνεύονται πᾶσαι, συλλέγουσαί σφισι φερνὰς ἐς ὃ ἂν συνοικήσωσι τοῦτο ποιέουσαι· ἐκδιδόασι δὲ αὐταὶ ἑωυτάς· ἡ μὲν δὴ περίοδος τοῦ σήματός ἐστι σταδίοι ἕξ, καὶ δύο πλέθρα· τὸ δὲ εὖρος ἐστὶ πλέθρα τριακαίδεκα· λίμνη δὲ ἔχεται τοῦ σήματος μεγάλη, τὴν λέγουσι Λυδοὶ ἀείναον εἶναι· καλέεται δὲ

Auri ramenta Tmoli.

Alyattæ ſepulchrum.

Lydorum filiæ ad quæſtum proſtitutæ.

[r] Κνάφος, Ὄργανόν τι ἐν κύκλῳ κέντρα ἔχον, δι' οὗ τὰς βασανιζομένας κλίνουσιν. Suidas. Ita quoque Timæus Lex. Platon.

[s] Strab. xiii. 625. ῥεῖ δ' ὁ Πακτωλὸς ἀπὸ τοῦ Τμώλου, καταφέρων τὸ παλαιὸν χρυσοῦ ψῆγμα πολύ, ἀφ' οὗ τὸν Κροῖσον λεγόμενον πλοῦτον, καὶ τῶν προγόνων αὐτοῦ, διονομασθῆναί φασι, νῦν δ' ἐκλέλοιπε τὸ ψῆγμα.

[t] Cf. Strab. xiii. 627. et Athen. xiii. 573.

αὐτη[u] Γυγαίη· τοῦτο μὲν δὴ τοιοῦτό ἐστι. Λυδοὶ δὲ 94
νόμοισι μὲν παραπλησίοισι χρέωνται καὶ Ἕλληνες· χωρὶς
ἢ ὅτι τὰ θήλεα τέκνα καταπρνδύουσι· πρῶτοι δὲ αν-
θρώπων τῶν ἡμεῖς ἴδμεν, [x]νόμισμα χρυσοῦ καὶ ἀργύρου
κοψάμενοι ἐχρήσαντο· πρῶτοι δὲ καὶ [y]κάπηλοι ἐγένοντο·
φασὶ δὲ αὐτοὶ Λυδοὶ τὰς παιγνίας τὰς νῦν σφίσι τε
καὶ Ἕλλησι κατεστεώσας ἑωυτῶν ἐξεύρημα γενέσθαι· ἅμα
δὲ ταύτας τε ἐξευρεθῆναι φάσκουσι σφίσι λέγουσι, καὶ Τυρ-
σηνίην ἀποικίσαι, ὧδε σφὶ αὐτῶν λέγοντες· ἐπὶ Ἄτυος
τοῦ Μάνεω βασιλέος σταδείην ἰσχυρὴν ἀνὰ τὴν Λυδίην

Lydi nummum aureum argenteumque primi percuſſerunt.

[u] Strab. xiii. 626. ἐν δὲ Σαρδίοις τετταράκοντα ἀπὸ τῆς πολέως (Sardibus ſc.) ἐστὶν ἡ Γυγαία μὲν ὑπὸ τῶν ποιητῶν λεγομένη, Κολόη δ' ὕστερον μετονομασθεῖσα. Reſpicit autem ad Il. Β'. 865. Υἱὸς Πυλαιμένεος, τὸν Γυγαίη τέκε λίμνη, Οἳ καὶ Μήονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας.

[x] Nummi ſignati inventionem plerique ad Phedonem Argivum referunt. At noſtro adſtipulatur Xenophanes apud Jul. Poll. ix. 6. 83. Καὶ τὸν ἐπὶ τῷ νομίσματι λόγον ἐπιζητεῖν, εἴτε Φείδων πρῶτος ὁ Ἀργεῖος ἔγραψε νόμισμα, εἴτε Δημοδίκη ἡ Κυμαία συνοικήσασα Μίδᾳ τῷ Φρυγὶ, παῖς δ' ἦν Ἀγαμέμνονος Κυμαίων βασιλέως, εἴτε Ἀθηναίοις Ἐριχθόνιος, καὶ Λύκος, εἴτε Λυδοὶ καθά φησι Ξενοφάνης, εἴτε Ναξίοις, κατὰ τὴν Ἀγλωθένης δόξαν.

[y] Κάπηλοι — *propolæ*, non, ut plerique, *caupones*. Propolæ Romanis dicuntur qui mercantur a mercatoribus quod ſtatim vendant carius. Cf. Lucilium apud Nonium. *Sicuti cum primos ficos propola recentes Protulit, et pretio ingenti dat primitu' paucos.* Cic. in Piſon. 27. *Piſtor domi nullus, nulla cella: panis et vinum a propola.* Iidem Græcis κάπηλοι. Plat. Sophiſt. 223. Ξε. Καὶ μὴν αὖ φήσομεν ἀγοραστικὴν διχῇ τέμνεσθαι. Θεαι. Πῇ; Ξε. Τὴν μὲν τῶν αὐτουργῶν, αὐτοπωλικὴν διαιρεμένην· τὴν δὲ ἀλλότρια ἔργα μεταβαλλομένην, μεταβλητικήν. Θεαι. Πάνυ γε. Ξε. Τί δέ; τῆς μεταβλητικῆς, οὐχ ἡ μὲν κατὰ πόλιν ἀλλαγὴ, χεῖδον αὐτῆς ἥμισυ μέρος ὄν, καπηλικὴ προσαγορεύεται; Θεαι. Ναί. Ξε. Τὸ δέ γε ἐξ ἄλλης εἰς ἄλλην πόλιν διαλλατόμενον ὠνῇ καὶ πράσει, ἐμπορική; Θεαι. Τί δ' οὔ; Cf. et Ariſtoph. Εἰρην. 446. κάπηλος ἀσπίδων· ubi Scholiaſt. Οὐκ αὐτὸς ἀσπίδας ποιῶν, ἀλλὰ παρ' ἄλλου λαμβάνων καὶ πωλῶν. Hinc porro intelligendus eſt Apoſt. ii. ad Corinth. ii. 17.

πᾶσαν γενέσθαι· καὶ τὸς Λυδὸς τέως μὲν διάγειν λιπαρέοντας· μετὰ δὲ, ὡς οὐ παύεσθαι, ἄκεα δίζησθαι· ἄλλον δὲ ἄλλο ἐπιμηχανᾶσθαι αὐτῶν· ἐξευρεθῆναι δὴ ὧν τό τε κῶν τῶν κύβων καὶ τῶν ἀστραγάλων καὶ τῆς σφαίρης, καὶ τῶν ἄλλεων παιδιέων παιγνιέων τὰ εἴδεα, πλὴν πεττῶν· τούτων γὰρ ὧν τὸν ἐξεύρεσιν οὐκ οἰκηίουνται Λυδοί· ποιέειν δὲ ὧδε πρὸς τὸν λιμὸν ἐξευρόντας· τὸν μὲν ἑτέρην τῶν ἡμερέων παίζειν πᾶσαν, ἵνα δὴ μὴ ζητέοιεν σιτία, τὸν δὲ ἑτέρην σιτέεσθαι, παυομένους τῶν παιγνιέων· τοιούτῳ τρόπῳ διάγειν ἐπ' ἔτεα δυῶν δέοντα εἴκοσι· ἐπεί τε δὲ οὐκ ἀνιέναι τὸ κακὸν, ἀλλ' ἐπὶ μᾶλλον ἔτι βιάζεσθαι, οὕτω δὴ τὸν βασιλῆα αὐτῶν, δύο μοίρας διελόντα Λυδῶν πάντων, κληρῶσαι, τὸν μὲν ἐπὶ μονῇ, τὸν δὲ ἐπὶ ἐξόδῳ ἐκ τῆς χώρης· καὶ ἐπὶ μὲν τῇ μένειν αὐτοῦ λαγχανούσῃ τῶν μοιρέων, ἑωυτὸν τὸν βασιλέα πρήσασθαι, ἐπὶ δὲ τῇ ἀπαλλασσομένῃ, τὸν ἑωυτοῦ παῖδα, τῷ οὔνομα εἶναι Τυρσηνόν· λαχόντας δὲ αὐτῶν τὸς ἑτέρους ἐξιέναι ἐκ τῆς χώρης, καὶ καταβῆναι ἐς Σμύρνην, καὶ μηχανήσασθαι πλοῖα, ἐς τὰ ἐσθεμένους τὰ πάντα ὅσα σφι ἦν χρηστὰ ἐπίπλοα, ἀποπλέειν καὶ βίου τε καὶ γῆς ζήτησιν, ἐς ὃ ἔθνεα πολλὰ παραμειψαμένους, ἀπικέσθαι ἐς Ὀμβρικούς· ἔνθα σφέας ἐνιδρύσασθαι πόλιας, καὶ οἰκέειν τὸ μέχρι τοῦδε· ἀντὶ δὲ Λυδῶν μετονομασθῆναι αὐτὸς ἐπὶ τοῦ βασιλέος τοῦ παιδὸς, ὃς σφέας ἀνήγαγε· ἐπὶ τούτου τὴν ἐπωνυμίην ποιεύμενους ὀνομασθῆναι [z] Τυρσηνούς.

XXII. Λυδοὶ μὲν δὴ ὑπὸ Πέρσῃσι ἐδεδούλωντο·

[z] Herodotum ſecuti ſunt Strab. v. 219. et Dionyſ. Halic. A. R. i. 27. Monet tamen Dionyſius aliis alia placuiſſe; deinde ſubjicit, quod notatu dignum eſt, Ξάνθος δὲ ὁ

ἐπιδίζηται δὲ δὴ τὸ ἐνθεῦτεν ἡμῖν ὁ λόγος τόν τε 95
Κῦρον, ὅστις ἐὼν τὴν Κροίσου ἀρχὴν κατεῖλε, καὶ τοὺς
Πέρσας, ὅτεῳ τρόπῳ ἡγήσαντο τῆς Ἀσίης. Ὡς ὦν
Περσέων μετεξέτεροι λέγουσι, οἱ μὴ βουλόμενοι σεμνοῦν
τὰ περὶ Κῦρον, ἀλλὰ τὸν ἐόντα λέγειν λόγον, κατὰ
ταῦτα γράψω· ἐπιστάμενος περὶ Κύρου καὶ τριφασίας
ἄλλας λόγων ὁδοὺς φῆναι[a]. Ἀσσυρίων ἀρχόντων τῆς
ἄνω Ἀσίης ἐπ' ἔτεα εἴκοσι καὶ πεντακόσια[b], πρῶτοι
ἀπ' αὐτῶν Μῆδοι ἤρξαντο [c]ἀπίστασθαι· καί κως οὗ-
τοι περὶ τῆς ἐλευθερίης μαχεσάμενοι τοῖσι Ἀσσυρί-
οισι, ἐγένοντο ἄνδρες ἀγαθοί, καὶ ἀπωσάμενοι τὴν
δουλοσύνην, ἠλευθερώθησαν· μετὰ δὲ τούτους, καὶ τὰ
ἄλλα ἔθνεα[d] ἐποίεε τὠϋτὸ τοῖσι Μήδοισι. Ἐόντων 96
δὲ αὐτονόμων πάντων ἀνὰ τὴν ἤπειρον, ὧδε αὖτις

Asiatica imperia.

Λυδὸς, ἱστορίας παλαιᾶς, εἰ καί τις ἄλλος, ἔμπειρος ὤν, τῆς δὲ πατρίου καὶ βεβαιωτὴς ἂν οὐδενὸς ὑποδεέστερος νομίσθεις, οὔτε Τυῤῥηνὸν ὠνόμακεν οὐδαμοῦ τῆς γραφῆς δυνάστην Λυδῶν, οὔτε ἀποικίαν Μηϊόνων εἰς Ἰταλίαν καταχοῦσαν ἐπίσταται, Τυῤῥηνίας τε μνήμην ὡς Λυδῶν ἀποικήσεως, ταπεινοτέρων ἄλλων μεμνήμενος, οὐδεμίαν πεποίηται· Ἄτυος δὲ παῖδας γένεσθαι λέγει Λυδὸν καὶ Τόῤῥηβον· τούτους δὲ, μερισαμένους τὴν πατρῴαν ἀρχὴν, ἐν Ἀσίᾳ καταμεῖναι ἀμφοτέρους. Priora amplexus est Virgilius Æn. viii. 478. *Haud procul hinc saxo incolitur fundata vetusto Urbis Agyllinæ sedes: ubi Lydia quondam Gens, bello præclara, jugis insedit Etruscis.* Vid. et Æn. ii. 781. conf. etiam Hor. Serm. i. 6. 1. et Tacit. Annal. iv. 55.

[a] Alia enim est apud Xenophontem, alia apud Ctesiam Cyri historia; et aliam fortasse ante oculos habuit Æschylus, Pers. 765.

[b] Hæc et quæ sequuntur aut aliter legebantur Diodori tempore, aut ille hunc locum citans egregie hallucinatus est. vid. Diod. ii. 32.

[c] Duce sc. Arbace, qui cum Sardanapali Assyriorum regis infamem mollitiem odio pariter et contemptui haberet, Medos ad defectionem impulit. Vid. Diodor. ii. 24. Athen. xii. 529. Justin. i. 3.

[d] Persæ sc. et Babylonii. Diodor. ii. 24.

ἐς τυραννίδας περιῆλθον· ἀνὴρ ἐν τοῖσι Μήδοισι ἐγένετο
σοφὸς, τῷ οὔνομα ἦν Δηϊόκης, παῖς δ' ἦν Φραόρτεω· ὅτος Deioces.
ὁ Δηϊόκης, ἐραθεὶς τυραννίδος, ἐπίεε τοιάδε· καταικημένων τῶν Μήδων κατὰ κώμας, ἐν τῇ ἐωυτοῦ ἐὼν καὶ πρότερον δόκιμος, ἔτι μᾶλλόν τι ἢ προθυμότερον δικαιοσυνὴν ἐπιτήδευε ἤσκεε· ἢ ταῦτα μέντοι, ἐούσης ἀνομίης πολλῆς ἀνὰ πᾶσαν τὴν Μηδικὴν, ἐπίεε, ἐπιξεύμενος ὅτι τῷ δικαίῳ τὸ ἄδικον πολέμιόν ἐστι· οἱ δ' ἐκ τῆς αὐτῆς κώμης Μῆδοι, ὁρῶντες αὐτοῦ τοὺς τρόπους, δικαστὴν μιν ἐωυτῶν αἱρέοντο· ὁ δὲ δὴ, οἷα μνεώμενος ἀρχὴν, ἰθύς[e] τε καὶ δίκαιος ἦν· ποιέων τε ταῦτα, ἔπαινον εἶχε οὐκ ὀλίγον πρὸς τῶν πολιτέων οὕτω, ὥστε πυνθανόμενοι οἱ ἐν τῇσι ἄλλῃσι κώμῃσι ὡς Δηϊόκης εἴη ἀνὴρ μοῦνος καὶ τὸ ὀρθὸν δικάζων, πρότερον πεπίστευον ἀδίκοισι γνώμῃσι, τότε ἐπεί τε ἤκουσαν, ἄσμενοι[f] ἐφοίτεον πρὸς τὸν Δηϊόκεα καὶ αὐτοὶ δικασόμενοι· τέλος δὲ,
97 οὐδενὶ ἄλλῳ ἐπετράποντο. Πλεῦνος δὲ ἀεὶ γινομένου τοῦ ἐπιφοιτέοντος, οἷα πυνθανομένων τὰς δίκας ἀποδαίνειν καλὰ τὸ ἐὸν, γνοὺς ὁ Δηϊόκης ἐς ἑωυτὸν πᾶν ἀνακείμενον, οὔτε καλίζειν ἔτι ἤθελε ἔνθαπερ πρότερον προκαλίζων ἐδίκαζε, ἅτ' ἔφη δικᾶν ἔλαι· οὐ γάρ οἱ λυπελέειν, τῶν ἑωυτοῦ ἐξημεληκότα, τοῖσι πέλας δι' ἡμέρης δικάζειν· ἐούσης ὧν ἁρπαγῆς καὶ ἀνομίης ἔτι πολλῷ μᾶλλον ἀνὰ τὰς κώμας ἢ πρότερον ἦν, συνελέχθησαν οἱ Μῆδοι ἐς τὠυτὸ, καὶ ἐδίδοσάν σφισι λόγον, λέγοντες πρὸς

[e] Hom. Il. Ψ'. 579. Εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω, καὶ μ' ὅττινα φημὶ Ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται.

[f] Hom. Il. Ξ'. 108.—ἱμοὶ δέ κεν ἀσμένῳ εἴη. et Υ'. 350.—ὃς κῆ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο· sic etiam Od. Γ'. 63, 566. et Κ'. 134.

τῶν κατηκόντων· ὡς δ' ἐγὼ δοκέω, μάλιστα ἔλεγον οἱ τοῦ Δηϊόκεω φίλοι· "Οὐ γὰρ δὴ τρόπῳ τῷ παρεόντι χρε-"ώμενοι, δυνατοὶ εἰμὲν οἰκέειν τὴν χώρην, φέρε, στή-"σωμεν ἡμέων αὐτῶν βασιλέα, καὶ οὕτω ἥ τε χώρη εὐ-"νομήσεται, καὶ αὐτοὶ πρὸς ἔργα[g] τρεψόμεθα, οὐδὲ ὑπ' "ἀνομίης ἀνάστατοι ἐσόμεθα." Ταῦτά κη λέγοντες, πείθουσι ἑωϋτοὺς βασιλεύεσθαι.

A. C. 700. XXIII. Αὐτίκα δὲ προβαλλομένων ὅντινα στήσονται 98
βασιλέα, ὁ Δηϊόκης ἦν πολλὸς ὑπὸ παντὸς ἀνδρὸς καὶ προβαλλόμενος καὶ αἰνεόμενος· ἐς ὃ τοῦτον καταινέουσι βασιλέα σφίσι εἶναι· ὁ δ' ἐκέλευε αὐτοὺς οἰκία τε ἑωϋτῷ ἄξια τῆς βασιληΐης οἰκοδομῆσαι, καὶ κρατῦναι αὐτὸν δορυφόροισι· ποιεῦσι δὴ ταῦτα οἱ Μῆδοι· οἰκοδομέουσί τε γὰρ αὐτῷ οἰκία μεγάλα τε καὶ ἰσχυρὰ, ἵνα αὐτὸς ἔφρασε τῆς χώρης· καὶ δορυφόρους αὐτῷ ἐπιτρέπουσι ἐκ πάντων Μήδων καταλέξασθαι· ὁ δὲ, ὡς ἔσχε τὴν ἀρχὴν, τοὺς Μήδους ἠναγκασε ἓν πόλισμα ποιήσασθαι, καὶ τοῦτο περιστέλλοντας, τῶν ἄλλων ἧσσον ἐπιμέλεσθαι· πειθομένων δὲ καὶ ταῦτα τῶν Μήδων, οἰκοδομέει τείχεα μεγάλα τε καὶ καρτερὰ, ταῦτα τὰ νῦν [h]Ἀγβάτανα κέκληται, ἕτερον

Ecbatana condita.

[g] Vid. supr. 36.

[h] Ecbatana urbem Deioce multo antiquiorem fuisse auctor est Diodorus ii. 13. Etenim, Ἡ Σεμίραμις, inquit, ἀνέζευξεν ἐπὶ Μηδίας—παραγενομένη δ' εἰς Ἐκβάτανα πόλιν ἐν πεδίῳ κειμένην κ. τ. λ.—quæ, ut vera sint, (nam de Semiramide caute semper pronuntiandum est) haudquaquam tamen Herodoti verbis adversantur. Satis erit ad fidem ejus firmandam, si Deioces urbem jam olim conditam ampliari et diligentius muniri jusserit—οἰκοδομέει τείχεα μεγάλα τε καὶ καρτερά· quod vero dixit, ἓν πόλισμα ποιήσασθαι, id non tam de urbe condenda accipiendum est, quam quod Deioces Medos κατὰ κώμας κατοικημένους in unam urbem contraxit. Potuissent eadem plane verba de Theseo atque Athenis usurpari. Nec ista Thucydidis

ἑτέρῳ κύκλῳ ἐνεζεῶται· μεμηχάνηται δὲ οὕτω τοῦτο τὸ τεῖχος, ὥζε ὁ ἕτερος τοῦ ἑτέρου κύκλος τοῖσι πολεμαχεῶσι μούνοισί ἐστι ὑψηλότερος· τὸ μέν κού τι καὶ τὸ χωρίον συμμαχέει, κολωνὸς ἐὼν, ὥζε τοιοῦτο εἶναι· τὸ δὲ καὶ μᾶλλόν τι ἐπετηδεύθη, κύκλων ἑόντων τῶν σταθμῶν ἑπτὰ[i], ἐν δὲ τῷ τελευταίῳ τὰ βασιλήια ἔνεζι καὶ οἱ θησαυροί· τὸ δὲ αὐτῶν μέγιζόν ἐστι τεῖχος καθὰ τὸν Ἀθηναίων κύκλον μάλιζά κη τὸ μέγαθος· τοῦ μὲν δὴ πρώτου κύκλου οἱ πολεμαχεῶνες εἰσὶ λευκοί· τοῦ δὲ δευτέρου, μέλανες· τρίτου δὲ κύκλου, φοινίκεοι· τεταρτου δὲ, κυάνεοι· πέμπτου δὲ, [k] σανδαρακινοί· οὕτω πάντων τῶν

multum diſcrepant de Olyntho, i. 58. Subjicit Diodor. ἐν πεδίῳ κειμένην· ſed Polyb. x. 27. κεῖται μὲν ὑπὸ τὴν παρωρείαν τὴν παρὰ τὴν Ὀρόντην (montem ſc. xii ſtadiis diſtantem; Diodor. l. c.) in montana nempe regione, quæ radicibus Orontis ſubjacet, ut recte Caſaubonus; cujuſmodi quidem regiones πέδια et πεδιάδη, licet non abſolute, at reſpectu tamen ad vicinos montes habito, appellari ſolent. Apte conſentiunt Herodoti verba. Erat nimirum κολωνὸς aliquis, qui munitæ arci locum præbuit: urbs vero, ad inſtar Athenarum, arcem cingens in planitiem porrecta eſt. De ambitu urbis magis ambigitur. Extimum ejus murum Herodotus fuiſſe inquit κατὰ τὸν Ἀθηναίων (reponendum omnino Ἀθηνέων) κύκλον μάλιζά κη τὸ μέγαθος· Sed Athenarum κύκλῳ videtur Thucydides (ii. 13. cf. Scholiaſt.) ſtadia cxcv tribuere. Dion Chryſoſtom. (Orat. vi.) ducenta tribuit, a priore calculo non multum abludens. Ecbatanis autem ſtadia ccl tribuit Diodorus xvii. 110. Alexandri ſcilicet temporibus. Itaque credibile eſt, urbem ipſam multo tum ampliorem, quam Herodoti temporibus, fuiſſe. Cæterum de Ecbatanis cf. imprimis Polyb. x. 27. Urbs ipſa hodie *Hemedan*, Orontes mons *Elvend* vel *Ervend* dicitur. Vid. Otter Voyage en Turquie et en Perſe, i. 181.

[i] Ad hæc reſpiciens non inficete Themiſtius Orat. xxvi. de Ariſtotelis libris obſcurioribus, πλείοσι, inquit, πεφραγμένοι εἰσὶ περιβόλοις, ἢ τὰ ἐν Ἐκβατάνοις βασίλεια.

[k] Sandaracha veterum duplex eſt; altera foſſitia, quæ nobis *realgar* (arſenicum ſc. ſulphuratum rubrum) dici-

κύκλων οἱ πομαχεῶνες ἠνθισμένοι εἰσὶ [1]φαρμάκοισι· δύο δὲ οἱ τελευταῖοί εἰσι, ὁ μὲν καλαργυρωμένος, ὁ δὲ καλακεχρυσωμένος ἔχων τὰς πομαχεῶνας. Ταῦτα 99
μὲν δὴ ὁ Δηϊόκης ἑωυτῷ τε ἐτείχεε, καὶ πρὸς τὰ ἑωυτοῦ οἰκία· τὸν δὲ ἄλλον δῆμον πέριξ ἐκέλευε τὸ τεῖχος οἰκέειν· οἰκοδομηθέντων δὲ πάντων, κόσμον τόνδε Δηϊόκης πρῶτος ἐσι ὁ καλασησάμενος, μήτε [m]ἐσιέναι πρὸς βασιλέα μηδένα, δι' ἀγγέλων [n] δὲ πάντα χρέεσθαι, ὁρᾶσθαί τε βασιλέα ὑπὸ [o]μηδενός· πρός τε τούτοισι ἔτι γελᾶν τε καὶ πλύειν ἀντίον, καὶ ἄπασι τοῦτό γε εἶναι αἰσχρόν· ταῦτα δὲ περὶ ἑωυτὸν ἐσέμνυνε τῶνδε εἵνεκεν, ὅκως ἂν μὴ ὁρέοντες οἱ ὁμήλικες ἕοντες σύντροφοί τε ἐκείνῳ καὶ οἰκίης ὐ φλαυροτέρης, ἀδὲ ἐς ἀνδραγαθίην λειπόμενοι, λυπεοίατο, καὶ ἐπιβουλεύοιεν, ἀλλ' ἑτεροῖός σφι δοκέοι εἶναι μὴ ὁρέωσι. Ἐπεί τε δὲ ταῦτα διεκόσμησε, 100

tur, (vid. Dioſcor. v. 122. Strab. xii. 562. et Salmaſ. in Solin. 811.) altera factitia eſt, de qua Vitruvius vii. 12. *Ceruſſa vero cum in fornace coquitur, mutato colore ad ignis incendium, efficitur Sandaracha.* Nobis *minium* dicitur. De colore abunde conſtat; κατακορῆ πυῤῥὰν, κινναβαρίζουσαν vocat Dioſcorides l. c.

[1] Φάρμακα, χρώματα. Heſych. Φάρμακα, καὶ ζωγράφων βάμματα· Euſtath. ad Od. A'. 261. vid. et Jul. Poll. vii. 33. 169. Sic apud Latinos venenum. *Alba neque Aſſyrio fucatur lana veneno.* Virg. Georg. ii. 465. cf. Salm. in Solin. 189, 190.

[m] Vid. iii. 84, et 118.

[n] Vid. iii. 34, et 77.

[o] Ita Xenoph. in Ageſ. ix. 1, 2. Ἀλλὰ μὲν ἐρῶ γε, ὡς καὶ τὸν τρόπον ὑπεςήσατο τῆ τοῦ Πέρσου ἀλαζονείᾳ· πρῶτον γὰρ, ὁ μὲν τῷ σπανίως ὁρᾶσθαι ἐσεμνύνετο, Ἀγησίλαος δὲ τῷ αἰὶ ἐμφανὴς εἶναι ἠγάλλετο· νομίζων, αἰσχρουργία μὲν τὸ ἀφανίζεσθαι πρέπειν, τῷ δὲ εἰς κάλλος βίῳ τὸ φῶς μᾶλλον κόσμον παρέχειν. Ἔπειτα δὲ, ὁ μὲν τῷ δυσπρόσοδος εἶναι ἐσεμνύνετο, ὁ δὲ τῷ πᾶσιν εὐπρόσοδος εἶναι ἔχαιρε. Καὶ ὁ μὲν ἡδύνετο τῷ βραδέως διαπράττειν, ὁ δὲ τότε μάλιςα ἔχαιρεν, ὁπόταν τάχιςα τυχόντας, ὧν δέοιντο, ἀποπέμποι. Et auctor libelli περὶ κόσμου, vi. Αὐτὸς μὲ γὰρ, (Rex Perſarum ſc.) ὡς λόγος, ἵδρυτο ἐν Σέσοις, ἢ Ἐκβατάνοις, παντὶ ἀόρατος.

καὶ ἐκράτυνε ἑωυτὸν τῇ τυραννίδι, ἦν τὸ δίκαιον φυλάσσων χαλεπός· καὶ τάς τε δίκας γράφοντες, ἔτω ταῦτ' ἐκεῖνον ἐσεπέμπεσκον· καὶ ἐκεῖνος διακρίνων τὰς ἐσφερομένας ἐκπέμπεσκε· ταῦτα μὲν καλὰ τὰς δίκας ἐπίεε· τὰ δὲ δὴ ἄλλα ἐκεκοσμέατο οἱ· εἴ τινα πυνθάνοιτο ὑβρίζοντα, τοῦτον ὅκως μετατέμψαιτο καὶ' ἀξίην ἑκάστῳ ἀδικήματος ἐδικαίου, καὶ οἱ κατάσκοποί τε καὶ [p]κατήκοοι ἦσαν ἀνὰ πᾶσαν τὴν χώρην τῆς ἦρχε.

101 XXIV. Δηϊόκης μέν νυν τὸ Μηδικὸν ἔθνος [q]συνέ-

[p] Κατήκοοι passim pro *imperio subditis et dicto audientibus*, pro *auscultatore*, ut in h. l. raro adhibetur; at vid. Dionem Cass. xlii. 17. Qui vero ab Herodoto κατάσκοποι καὶ κατήκοοι, a Græcis plerumque βασιλέως ὀφθαλμοὶ et βασιλέως ὦτα appellati sunt. vid. Xen. K. Π. viii. 2. 7. et 6. 8. Æschyl. Pers. 976. Aristoph. Ἀχαρν. 92. et Schol. ibid. Hesych. etiam et Suidam in v. cf. etiam Aristot. Pol. iii. 16. Cæterum in hoc cap. Herodotus breviter sed accurate tamen veris lineamentis adumbravit majestatem istam, et σεμνότητα, quæ primo a Medorum, deinde a Persarum regibus usurpata est. Ἡ γὰρ Περσικὴ περὶ τὰς βασιλείας θεραπεία, καὶ κόσμος, καὶ σεβασμὸς θεοπρεπὴς παρὰ τῶν ἀρχομένων, εἰς τοὺς Πέρσας παρὰ τῶν Μήδων ἀφῖκται. Strab. xi. 525. et monendi sunt Tyrones, eadem fere omnia apud Asiæ tyrannos et obtinuisse semper, et nunc etiam obtinere. Videtur autem ad hunc Herodoti locum omnino respexisse Auctor Libelli περὶ κόσμου, vi. ἀλλ' οἷον ἱστορεῖται τὸ Καμβύσου, Ξέρξου τε, καὶ Δαρείου πρόχημα, εἰς σεμνότητος καὶ ὑπεροχῆς ὕψος μεγαλοπρεπῶς διεκεκόσμητο· αὐτὸς μὲν γὰρ, ὡς λόγος, ἵδρυτο ἐν Σούσοις, ἢ Ἐκβατάνοις, παντὶ ἀοράτος, θαυμαστὸν ὑπέχων βασίλειον οἶκον, καὶ περίβολον χρυσοῦ, καὶ ἠλέκτρου, καὶ ἐλέφαντι ἀγραφίοπλα· πυλῶνες δὲ πολλοὶ καὶ συνεχεῖς, πρόθυρά τε συχνοῖς εἰργόμενα σανδίοις ἀπ' ἀλλήλων, θύραις τε χαλκαῖς, καὶ τείχεσι μεγάλοις ὠχύρωτο· ἔξω δὲ τούτων ἄνδρες οἱ πρῶτοι καὶ δοκιμώτατοι διεκεκόσμηντο· οἱ μὲν ἀμφ' αὐτὸν βασιλέα δορυφόροι τε καὶ θεράποντες, οἱ δὲ ἑκάστῳ περιβόλῳ φύλακες, πυλωροί τε καὶ ὠτακουσταὶ λεγόμενοι, ὡς ἂν ὁ βασιλεὺς αὐτὸς, δεσπότης καὶ θεὸς ὀνομαζόμενος, πάντα μὲν βλέποι, πάντα δὲ ἀκούοι· χωρὶς δὲ τούτων ἄλλοι καθειστήκεσαν προσόδων ταμίαι, καὶ στρατηγοὶ πολέμων καὶ κυνηγεσίων, δώρων τε ἀποδεκτῆρες, τῶν τε λοιπῶν ἔργων ἵκανοι κατὰ τὰς χρείας ἐπιμεληταί.

[q] *In unum contraxit*; sicut ix. 18. cf. Cic. de Off. ii. 12.

σρεψε μοῦνον, ἢ τούτῳ ἦρξε· ἔσι δὲ Μήδων τοσάδε γένεα, Βουσοὶ, Παρηακηνοὶ, Στρούχαλες, Ἀριζαντοὶ, Βούδιοι, Μάγοι· γένεα μὲν δὴ Μήδων ἐσὶ τοσάδε. Δηϊόκεω δὲ τοῦ γίνε- 102
Phraortes. A. C. 647. ται Φραόρτης, ὃς, τελευτήσαντος Δηϊόκεω, βασιλεύσαντος τρία ἢ πεντήκοντα ἔτεα, τοῦ παρεδέξατο τὴν ἀρχήν· παραδεξάμενος δὲ, οὐκ ἀπεχρᾶτο μούνων ἄρχειν τῶν Μήδων, ἀλλὰ στρατευσάμενος ἐπὶ τοὺς Πέρσας, τοῦτοισί τε τοῖσι ἐπεθήκατο, καὶ πρώτους Μήδων ὑπηκόους ἐποίησε· μετὰ δὲ, ἔχων δύο ταῦτα ἔθνεα, καὶ ἀμφότερα ἰσχυρὰ, καλεστρέφετο τὴν Ἀσίην, ἀπ' ἄλλου ἐπ' ἄλλο ἰὼν ἔθνος, ἐς ὃ στρατευσάμενος ἐπὶ τοὺς Ἀσσυρίους, καὶ Ἀσσυρίων τοὺς οἱ Νῖνον ἔχον[r], καὶ ἦρχον πρότερον πάντων, τότε δὲ ἦσαν μεμουνωμένοι μὴ συμμάχων, ἅτε ἀπιστεώντων[s], ἄλλως μὴτοι ἐωϋτῶν εὖ ἡκοντες· ἐπὶ τούτους δὴ στρατευσάμενος ὁ Φραόρτης, αὐτός τε διεφθάρη, ἀρχὰς δύο καὶ εἴκοσι ἔτεα, καὶ ὁ στρατὸς αὐτοῦ ὁ πολλός.

A. C. 625. Cyaxares. XXV. Φραόρτεω δὲ τελευτήσαντος, ἐξεδέξατο Κυ- 103
αξάρης ὁ Φραόρτεω τοῦ Δηϊόκεω παῖς· ὅτος λέγεται πολλὸν ἔτι γενέσθαι ἀλκιμώτερος τῶν προγόνων· καὶ

legendum autem videtur, τό τε Μηδικὸν ἔθνος συνέστρεψε, μόνα τε τούτου ἦρξε· ex conj. Valken.

[r] Aſſyrii ab Herodoto appellantur non ii ſolum qui Aſſyriam, ſed ii etiam qui Babyloniam poſſederunt. vid. 106, 178, et 185. huj. neque aliter Strab. xvi. 737. Ubi de antiquo Aſſyriorum imperio agitur, intelligendi ſunt ſemper priores illi Aſſyrii quibus Aſſyria patria, Ninus autem imperii ſedes erat. Penes iſtos principatus fuit, Aſſyrios autem Babylonios in ſubditorum numero habuerunt.

[s] Poſt defectionem iſtam de qua ſupra dictum eſt, videntur Ἀσσύριοι οἱ Νῖνον ἔχον ingenti illo, quo prius potiti fuerant, imperio deſtituti, intra veros Aſſyriæ fines ſeſe continuiſſe. Aſſyria autem proprie dicitur regio iſta quam a Meſopotamia et Babylonia Tigris, a Suſiana Gyndes, a Media Zagrus mons, ab Armenia vero montes Cordueni dirimunt.

πρῶτός τε ἐλόχισε κατὰ τέλεα τοὺς ἐν τῇ Ἀσίῃ, καὶ πρῶτος διέταξε χωρὶς ἑκάστους εἶναι, τούς τε αἰχμοφόρους, καὶ τοὺς ἱππέας, καὶ τοὺς τοξοφόρους· προτοῦ δὲ ἀναμὶξ ἦν πάντα ὁμοίως ἀναπεφυρμένα· οὗτος ὁ τοῖσι Λυδοῖσί ἐστι μαχεσάμενος, ὅτε νὺξ ἡ ἡμέρη ἐγένετό σφι μαχομένοισι· καὶ ὁ τὴν Ἅλυος ποταμοῦ ἄνω Ἀσίην πᾶσαν συστήσας ἑωϋτῷ· συλλέξας δὲ τοὺς ὑπ' ἑωϋτῷ ἀρχομένους πάντας, ἐστρατεύετο ἐπὶ τὴν Νῖνον, τιμωρέων τε τῷ πατρὶ, καὶ τὴν πόλιν ταύτην θέλων ἐξελεῖν· καί οἱ, ὡς συμβαλὼν ἐνίκησε τοὺς Ἀσσυρίους, περικατημένῳ τὴν Νῖνον, ἐπῆλθε Σκυθέων στρατὸς μέγας, ἦγε δὲ αὐτοὺς βασιλεὺς ὁ Σκυθέων Μαδύης[t], Πρωτοθύεω παῖς, οἳ ἐσέβαλον μὲν ἐς τὴν Ἀσίην, Κιμμερίους ἐκβαλόντες ἐκ τῆς Εὐρώπης, τούτοισι δὲ ἐπισπόμενοι φεύγουσι, οὕτω ἐς

A. C. 624. Scytharum irruptio.

104 τὴν Μηδικὴν χώρην ἀπίκοντο. Ἔστι δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Φάσιν ποταμὸν καὶ ἐς Κόλχους τριήκοντα ἡμερέων εὐζώνῳ ὁδός· ἐκ δὲ τῆς Κολχίδος οὐ πολλὸν ὑπερβῆναι ἐς τὴν Μηδικὴν, ἀλλὰ ἓν τὸ διὰ μέσου ἔθνος αὐτῶν ἐστι, [u] Σάσπειρες· τοῦτο δὲ παραμειβομένοισι, εἶναι ἐν τῇ Μηδικῇ· οὐ μέντοι οἵγε Σκύθαι ταύτῃ ἐσέβαλον, ἀλλὰ τὴν κατύπερθεν ὁδὸν[x] πολλῷ μακροτέρην ἐκτραπόμενοι, ἐν δεξιῇ ἔχοντες τὸ Καυκάσιον ὄρος· ἐνθαῦτα οἱ μὲν Μῆδοι συμβαλόντες τοῖσι Σκύθῃσι, καὶ

105 ἐσσωθέντες τῇ μάχῃ, τῆς ἀρχῆς κατελύθησαν· οἱ δὲ Σκύθαι τὴν Ἀσίην πᾶσαν ἐπέσχον. Ἐνθεῦτεν δὲ ἦσαν ἐπ'

[t] De Scythicæ gentis excursionibus in Asiam plura Justinus ii. 4, 5. Μάδυος Σκυθικοῦ res gestas tetigit obiter Strab. i. 61.

[u] Cf. iv. 37.

[x] Cf. iv. 12. Ubi de Scythis et Cimmeriis fusius dicturi sumus.

Αἴγυπτον· καὶ ἐπεί τε ἐγένοντο ἐν τῇ Παλαιστίνῃ Συρίῃ,
Psammitichi solertia. Ψαμμίτιχός σφεας Αἰγύπτου βασιλεὺς ἀντιάσας δώ-
ροισί τε καὶ λιτῇσι ἀποτρέπει τοπροσωτέρω μὴ πορεύ-
εσθαι· οἱ δὲ, ἐπεί τε ἀναχωρέοντες ὀπίσω ἐγένοντο τῆς
Συρίης ἐν Ἀσκάλωνι πόλι, τῶν πλεόνων Σκυθέων
παρεξελθόντων ἀσινέων, ὀλίγοι τινὲς αὐτῶν ὑπολειφ-
θέντες, ἐσύλησαν τῆς Οὐρανίης Ἀφροδίτης τὸ ἱρόν· [y] ἔστι
δὲ τοῦτο τὸ ἱρὸν, ὡς ἐγὼ πυνθανόμενος εὑρίσκω, πάν-
των ἀρχαιότατον ἱρῶν ὅσα ταύτης τῆς θεοῦ· καὶ γὰρ τὸ ἐν
Κύπρῳ ἱρὸν ἐνθεῦτεν ἐγένετο, ὡς αὐτοὶ λέγουσι Κύπριοι·
καὶ τὸ ἐν Κυθήροισι, Φοίνικές εἰσιν οἱ ἱδρυσάμενοι, ἐκ
ταύτης τῆς Συρίης ἐόντες· τοῖσι δὲ τῶν Σκυθέων συλή-
σασι τὸ ἱρὸν τὸ ἐν Ἀσκάλωνι, καὶ τοῖσι τουτέων αἰεὶ ἐκγό-
Morbus femineus. νοισι ἐνέσκηψε ἡ θεὸς θήλειαν [z] νοῦσον· ὥστε ἅμα λέ-
γουσί τε οἱ Σκύθαι διὰ τοῦτό σφεας νοσέειν, καὶ ὁρᾷν παρ'
ἑωϋτοῖσι τοὺς ἀπικνεομένους ἐς τὴν Σκυθικὴν χώρην ὡς
διακέαται, τοὺς καλέουσι Ἐναρέας οἱ Σκύθαι. Ἐπὶ 106
μέν νυν ὀκτὼ καὶ εἴκοσι ἔτεα ἦρχον τῆς Ἀσίης οἱ Σκύ-
θαι, καὶ τὰ πάντα σφι ὑπό τε ὕβριος ⊂ ὀλιγωρίης ἀνά-
στατα ἦν· χωρὶς μὲν γὰρ φόρων, ἔπρησσον παρ' ἑκάστων
τὸ ἑκάστοισι ἐπέβαλλον· χωρὶς δὲ τοῦ φόρου, ἥρπαζον
περιελαύνοντες τοῦτο ὅ, τι ἔχοιεν ἕκαστοι· καὶ τούτων μὲν
Cyaxares imperium Asiæ recuperat. A. C. 596. τοὺς πλεῦνας Κυαξάρης τε ⊂ Μῆδοι ξενίσαντες καὶ κατα-
μεθύσαντες κατεφόνευσαν· καὶ οὕτω ἀνεσώσαντο τὴν ἀρχὴν
Μῆδοι, καὶ ἐπεκράτεον τῶν περ καὶ πρότερον· καὶ τήν τε

[y] Cf. Pauſ. i. 14. Diod. ii. 4. et Salm. in Solin. 405.

[z] Cf. iv. 67. et Hippocr. de aër. aq. et loc. xlviii, xlix. cf. item Heynii Commentationem *De maribus inter Scythas morbo effœminatis*. Comm. Reg. Soc. Gotting. 1778.

Νῖνον [a] εἷλον, (ὡς δὲ εἷλον, ἐν ἑτέροισι λόγοισι [b] δηλώσω) καὶ τὰς Ἀσσυρίους ὑποχειρίους ἐποιήσαντο, πλὴν τῆς Βαβυλωνίης μοίρης· μετὰ δὲ ταῦτα, Κυαξάρης μὲν, βασιλεύσας τεσσαρεσκοντα ἔτεα, σὺν τοῖσι Σκύθαι ἦρξαν, τελευτᾷ.

107 XXVI. Ἐκδέκεται δὲ Ἀσυάγης ὁ Κυαξάρεω παῖς τὴν βασιληίην· καὶ οἱ ἐγένετο θυγάτηρ, τῇ οὔνομα ἔθετο Μανδάνιη· τὴν ἐδόκεε Ἀσυάγης ἐν τῷ ὕπνῳ οὐρῆσαι τοσοῦτον ὥστε πλῆσαι μὲν τὴν ἑωυτοῦ πόλιν, ὑπερκαταβλύσαι δὲ καὶ τὴν Ἀσίην πᾶσαν· ὑποθέμενος δὲ τῶν μάγων τοῖσι ὀνειροπόλοισι τὸ ἐνύπνιον, ἐφοβήθη, πάρ' αὐτέων αὐτοὺς ἕκαστα μαθών· μετὰ δὲ, τὴν Μανδάνην ταύτην, ἐοῦσαν ἤδη ἀνδρὸς ὡραίην, Μήδων μὲν τῶν ἑωυτοῦ ἀξίων οὐδενὶ δίδοῖ γυναῖκα, δεδοικὼς τὴν ὄψιν· ὁ δὲ Πέρσῃ δίδοῖ, τῷ ὄνομα ἦν Καμβύσης· τὸν εὑρίσκε οἰκίης μὲν ἐόντα ἀγαθῆς, τρόπου δὲ ἡσυχίου· πολλῷ ἔνερθε 108 ἄγων αὐτὸν μέσου ἀνδρὸς Μήδου. Συνοικεούσης δὲ τῷ Καμβύσῃ τῆς Μανδάνης, ὁ Ἀσυάγης τῷ πρώτῳ ἔτεϊ εἶδε ἄλλην ὄψιν· ἐδόκεε δέ οἱ ἐκ τῶν αἰδοίων τῆς θυγατρὸς ταύτης φύναι ἄμπελον· τὴν δὲ ἄμπελον ὑπέχειν τὴν Ἀσίην πᾶσαν· ἰδὼν δὲ τοῦτο, καὶ [c] ὑπερθέμενος τοῖσι ὀνειροπόλοισι, μελεπέμψατο ἐκ τῶν Περσέων τὴν

A. C. 585.

Aftyagis somnium de Mandane.

106

[a] Viſuntur etiamnum Nini urbis rudera et reliquiæ in ripa Tigris Orientali ex adverſo fere urbi Moſul in Meſopotamia. Vid. Tavernier Voyages de Perſe, ii. 4. p. 175. et Niebuhr Voy. en Arabie, tom. ii. 286. Erat autem ipſa urbs πολὺ μείζων τῆς Βαβυλῶνος. Strab. xvi. 737. Imo, ut ait Diodor. ii. 3. τηλικαύτην πόλιν ὑδεὶς ὕστερον ἔκλιπε καλά τε τὸ μέγεθος τὸ περιβόλου, καὶ τὴν περὶ τὸ τεῖχος μεγαλοπρέπειαν.

[b] Vid. infr. 184.

[c] Ita vii. 8. Xerxes ad Perſarum optimates, διὸ ὑμέας νῦν ἐγὼ συνέλεξα, ἵνα τὸ νόῳ πρήσσειν ὑπερθέωμαι ὑμῖν. cf. 8. huj. et v. 24.

θυγατέρα ἐπίτεκα ἐοῦσαν· ἀπικομένην δὲ ἐφύλασσε, βουλόμενος τὸ γεννώμενον ἐξ αὐτῆς διαφθεῖραι· ἐκ γάρ οἱ τῆς ὄψιος οἱ τῶν μάγων ὀνειροπόλοι ἐσήμαινον, ὅτι μέλλοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντὶ ἐκείνου· ταῦτα δὴ ὦν φυλασσόμενος ὁ Ἀστυάγης, ὡς ἐγένετο ὁ Κῦρος, καλέσας Ἅρπαγον, ἄνδρα οἰκήϊον, καὶ πιστότατόν τε Μήδων, καὶ πάντων ἐπίτροπον τῶν ἑωϋτοῦ, ἔλεγέ οἱ τοιάδε· "Ἅρπαγε, πρῆγμα τὸ ἄν τοι προσ-
"θέω, μηδαμᾶ παραχρήσῃ, μηδὲ ἐμέ τε [d] παρα-
"βάλῃ, καὶ ἄλλους ἑλόμενος, ἐξ ὑστέρης σοι ἑωϋτῷ περι-
"πέσῃς· λάβε τὸν Μανδάνη ἔτεκε παῖδα· φέρων δὲ ἐς
"σεωϋτοῦ, ἀπόκτεινον· μετὰ δὲ, θάψον τρόπῳ ὅτεῳ αὐτὸς
"βούλεαι." Ὁ δὲ ἀμείβετο· "Ὦ βασιλεῦ, οὔτε ἄλλοτί κω
"παρεῖδες ἀνδρὶ τῷδε ἄχαρι οὐδὲν, φυλασσόμεθα δὲ
"ἔς σε καὶ ἐς τὸν [e] μετέπειτα χρόνον μηδὲν ἐξαμαρτεῖν·
"ἀλλ' εἴ τοι φίλον τοῦτο οὕτω γίνεσθαι, χρὴ δὴ τόγε
"ἐμὸν ὑπηρετέεσθαι ἐπιτηδέως." Τούτοισι ἀμειψά- 109
μενος ὁ Ἅρπαγος, ὥς οἱ παρεδόθη τὸ παιδίον κεκοσ-
μημένον τὴν ἐπὶ θανάτῳ, ᾔει κλαίων ἐς τὰ οἰκία·
παρελθὼν δὲ ἔφραζε τῇ ἑωϋτοῦ γυναικὶ τὸν πάντα
Ἀστυάγεος ῥηθέντα λόγον· ἡ δὲ πρὸς αὐτὸν λέγει·
"Νῦν ὦν τί σοι ἐν νόῳ ἐστὶ ποιέειν;" Ὁ δὲ ἀμείβεται·
"Οὐκ ᾗ ἐνετέλλετο Ἀστυάγης· οὐδ' εἰ παραφρονήσει τε καὶ
"μανεῖται κακίον ἢ νῦν μαίνεται, οὔ οἱ ἔγωγε προσθή-
"σομαι τῇ γνώμῃ, οὐδὲ ἐς φόνον τοιοῦτον ὑπηρετήσω·
"πολλῶν δὲ εἵνεκα οὐ φονεύσω μιν· καὶ ὅτι αὐτῷ μοι

Filius Mandanes datur Harpago occidendus.

[d] *In discrimen adducas.* Hom. Il. Ι'. 322.—ἐμὴν ψυχὴν παραβαλλόμενος—eodem sensu παρθέμενοι. Od. Β'. 237. Γ'. 74. confer etiam Ι'. 255.

[e] Hom. Od. Ξ'. 403.—ἅμα τ' αὐτίκα, καὶ μετέπειτα. vid. et Il. Ξ'. 310. Od. Λ'. 639.

" συγγενής ἐστιν ὁ παῖς, ☾ ὅτι Ἀστυάγης μέν ἐστι γέρων,
" καὶ ἄπαις ἔρσενος γόνου· εἰ δὲ θελήσει, τότε τελευτή-
" σαντος, ἐς τὴν θυγατέρα ταύτην ἀναβῆναι ἡ τυραννὶς,
" ἧς νῦν τὸν υἱὸν κτείνει δι' ἐμεῦ, ἄλλο τι ἢ λείπεται τὸ
" ἐνθεῦτεν ἐμοὶ κινδύνων ὁ μέγιστος; ἀλλὰ τὲ μὲν ἀσ-
" φαλέος εἵνεκα ἐμοὶ, δεῖ τοῦτον τελευτᾶν τὸν παῖδα·
" δεῖ μέν τῶν τινα Ἀστυάγεος αὐτῷ φονέα γενέσθαι, καὶ
" μὴ τῶν ἐμῶν." Ταῦτα εἶπε καὶ αὐτίκα ἄγγελον ἔπεμ-
πε ἐπὶ τῶν βουκόλων τῶν Ἀστυάγεος τὸν ἠπίστατο νομάς
τε ἁπιτηδεωτάτας νέμοντα, καὶ ὄρεα θηριωδέστατα, τῷ οὔ-
νομα ἦν Μιτραδάτης· συνοίκεε δὲ ἑωυτῷ συνδούλῃ· οὔ-
νομα δὲ τῇ γυναικὶ ἦν τῇ συνοίκεε, Κυνὼ, καλὰ τὴν
Ἑλλήνων γλῶσσαν· καλὰ δὲ τὴν Μηδικὴν, Σπακώ· τὴν
γὰρ κύνα καλέουσι Σπάκα Μῆδοι· αἱ δὲ ὑπώρεαί[f] εἰσι
τῶν οὐρέων ἔνθα τὰς νομὰς τῶν βοῶν εἶχε ἔτος δὴ ὁ
βουκόλος, πρὸς βορέω τε ἀνέμου τῶν Ἀγβατάνων, καὶ
πρὸς τοῦ πόντου τοῦ Εὐξείνου· ταύτη μὲν γὰρ ἡ Μηδικὴ
χώρη πρὸς Σασπείρων ὀρεινή ἐστι κάρτα, καὶ ὑψηλή τε,
καὶ ἰδησι[g] σκιηρεφής· ἡ δὲ ἄλλη Μηδικὴ χώρη, ἐστὶ πᾶσα
ἄπεδος· ἐπεὶ ὦν ὁ βουκόλος σταθῇ πολλῇ καλεόμενος
ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τάδε· " Κελεύει σε Ἀστυά-
" γης τὸ παιδίον τοῦτο λαβόντα θεῖναι ἐς τὸ ἐρημό-
" τατον τῶν ὀρέων, ὅκως ἂν τάχιστα διαφθαρείη, καὶ τάδε
" τοι σκέλλουσε εἰπεῖν, ἢν μὴ ἀποκτείνῃς αὐτὸ, ἀλλά
" τεῳ τρόπῳ περιποιήσῃ, ὀλέθρῳ τῷ κακίστῳ σε διο-
" χρήσεσθαι· ἐπορᾶν δὲ ἐκκείμενον διατεταγμαι ἐγώ."
Ταῦτα ἀκούσας ὁ βουκόλος, καὶ ἀναλαβὼν τὸ παιδίον,

[f] Hom. Il. Υ'. 218. Ἀλλ' ἔθ' ὑπωρείας ὤκεον πολυπίδακος Ἴδης.

[g] Hesych. Ἴδη, ὕλη. Ἴωνες δὲ, δρυμῶν ὄρος. Conf. iv. 175. et vii. 111.

ἥκε τ' αὐτὴν ὀπίσω ὁδὸν, ἐς τ' ἔπαυλιν· τῷ δ' ἄρα ἐν αὐτῷ ἡ γυνὴ ἐπιτεξ ἐοῦσα πᾶσαν ἡμέρην τότε κως καλὰ δαίμονα τίκτει, οἰχομένου τοῦ βακόλου ἐς πόλιν. ἦσαν δὲ ἐν Φρυγίδι ἀμφότεροι ἀλλήλων πέρι· ὁ μὲν, τοῦ τόκου τῆς γυναικὸς ἀρρωδέων· ἡ δὲ γυνὴ, ὅτι οὐκ ἐωθὼς ὁ Ἅρπαγος μεταπέμψαιτο αὐτῆς τὸν ἄνδρα· ἐπεί τε δὲ ἀπενοσήσας ἐπέξη, οἷα ἐξ ἀέλπτου ἰδοῦσα ἡ γυνὴ, εἴρετο πρότερη, ὅτι μιν οὕτω προθύμως Ἅρπαγος μεταπέμψαιτο· ὁ δὲ εἶπε· " Ὦ γύναι, εἰδόν τε, ἐς πόλιν ἐλ-" θὼν, καὶ ἤκουσα τὸ μήτε ἰδεῖν ὄφελον, μή τέ κοτε γε-" νέσθαι ἐς δεσπότεας τοὺς ἡμετέρους· οἶκος μὲν πᾶς Ἁρ-" πάγου κλαυθμῷ καλείχετο· ἐγὼ δὲ ἐκπλαγεὶς, ἤια " ἔσω· ὡς δὲ τάχιστα ἐσῆλθον, ὁρέω παιδίον προκεί-" μενον, ἀσπαίρον τε καὶ κραυγανόμενον, κεκοσμημένον " χρυσῷ τε καὶ ἑσθῆτι ποικίλῃ· Ἅρπαγος δὲ ὡς εἶδέ " με, ἐκέλευε τὴν ταχίστην ἀναλαβόντα τὸ παιδίον " οἴχεσθαι φέροντα, καὶ θεῖναι ἔνθα θηριωδέστατον εἴη τῶν " οὀρέων, φὰς Ἀστυάγεα εἶναι τὸν ταῦτα ἐπιθέμενόν " μοι· πόλλ' ἀπειλήσας εἰ μή σφεα ποιήσαιμι· καὶ " ἐγὼ ἀναλαβὼν ἔφερον, δοκέων τῶν τινος οἰκετέων εἶναι· " οὐ γὰρ ἄν κοτε καὶ ἐδόξα ἔνθεν γε ἦν· ἐθαύμαζον δὲ " ὁρέων χρυσῷ τε καὶ εἵμασι κεκοσμημένον, πρὸς δὲ, " καὶ κλαυθμὸν καλεσεῶντα ἐμφανέα ἐν Ἅρπάγου· καὶ " πρόκα τε δὴ καὶ ὁδὸν ποιεύμενον τὸν πάντα λό-" γον θεράπνης, ὅς ἔμε [h] προπέμπων ἔξω πόλιος " ἐνεχείρισε τὸ βρέφος, ὡς ἄρα Μανδάνης τε εἴη παῖς " τῆς Ἀστυάγεος θυγατρὸς, καὶ Καμβύσεω τοῦ Κύρου·

[h] Hom. Od. P'. 54. Τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑταίροισι. vid. etiam ibid. 117.

" καί μιν Ἀσυάγης ἐντέλλεται ἀποκτεῖναι· νῦν τε ὧδε
112 " ἐστί." Ἅμα δὲ ταῦτα ἔλεγε ὁ Βακόλος, καὶ ἐκκαλύψας ἀπεδείκνυε· ἡ δὲ, ὡς εἶδε τὸ παιδίον μέγα τε καὶ εἰδὸς εὖ, δακρύσασα, καὶ λαβομένη τῶν γονάτων τοῦ ἀνδρὸς, ἔχρηζε μηδεμιῇ τέχνῃ ἐκθεῖναί μιν· ὁ δὲ οὐκ ἔφη οἷός τ' εἶναι ἄλλως αὐτὰ ποιέειν· ἐπιφοιτήσειν γὰρ καλασκόπους ἐξ Ἁρπάγου ἐποψομένους, ἀπολέεσθαί τε κάκιστα, ἢν μὴ σφέα ποιήσῃ· ὡς δὲ οὐκ ἔπειθε ἄρα τὸν ἄνδρα, δεύτερα λέγει ἡ γυνὴ τάδε· " Ἐπεὶ τοίνυν οὐ δύναμαί σε πείθειν μὴ ἐκθεῖναι, σὺ " δὲ ὧδε ποίησον, [i] εἰ δὴ πᾶσι ἀνάγκη ὀφθῆναι ἐκκείμενον· τέτοκα γὰρ κἀγὼ, τέτοκα δὲ τεθνεός· τοῦτο " μὲν φέρων πρόθες· τὸν δὲ τῆς Ἀσυάγεος θυγατρὸς " παῖδα ὡς ἐξ ἡμέων ἐόντα τρέφωμεν· καὶ ἔτω ἔτε σὺ " ἀλώσεαι ἀδικέων τὰς δεσπότεας, οὔτε ἡμῖν κακῶς " βεβλωμένα ἔσεαι· ὅ, τε γὰρ τεθνεὼς βασιλῆος πα- " φῆς κυρήσει, καὶ ὁ ζωὸς οὐκ ἀπολέει τὴν ψυχήν."
113 Κάρτα τε ἔδοξε τῷ Βακόλῳ πρὸς τὰ παρεόντα εὖ λέγειν Cyrus servatur.
ἡ γυνὴ, καὶ αὐτίκα ἐπίεε ταῦτα· τὸν μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν παραδιδοῖ τῇ ἑωυτοῦ γυναικί· τὸν δὲ ἑωυτοῦ ἐόντα νεκρὸν λαβὼν ἔθηκε ἐς τὸ ἄγγος ἐν τῷ ἔφερε τὸν ἕτερον· κοσμήσας δὲ τῷ κόσμῳ παντὶ τοῦ ἑτέρου παιδὸς, φέρων ἐς τὸ ἐρημότατον τῶν οὀρέων τιθεῖ· ὡς δὲ τρίτη ἡμέρη τῷ παιδίῳ ἐκκειμένῳ ἐγένετο, ἦιε ἐς πόλιν ὁ Βακόλος, τῶν ἵνα [k] προβόσκων φύλακον αὐ-

[i] Conf. ii. 22, et 35. iv. 179, v. 52. et alibi sæpe.

[k] Corrigebat Toupius προβατοβοσκῶν ex Hesychio sc. apud quem legitur Ἀρνοβοσκὸς, προβατοβοσκός. Deinde, nihil mutandum esse censuit, προβόσκον vero pro *subbubulco* accipiendum esse, πρὸ enim in compositione nonnunquam eum designare *qui alterius vicem gerit*; ut apud Latinos

τοῦ καταλιπών· ἐλθὼν δὲ ἐς τοῦ Ἁρπάγου, ἀποδεικνύναι ἔφη ἑτοῖμος εἶναι τοῦ παιδίου τὸν νέκυν· πέμψας δὲ ὁ Ἅρπαγος τῶν ἑωϋτοῦ δορυφόρων τοὺς πιστοτάτους, εἶδέ τε διὰ τούτων, καὶ ἔθαψε τοῦ βουκόλου τὸ παιδίον· καὶ τὸ μὲν ἐτέθαπτο· τὸν δὲ ὕστερον τούτων Κῦρον ὀνομασθέντα παραλαβοῦσα ἔτρεφε ἡ γυνὴ τοῦ βουκόλου, οὔνομα ἄλλο κού τι καὶ οὐ Κῦρον θεμένη.

Lusu agnoscitur Cyrus.

XXVII. Καὶ ὅτε δὴ ἦν δεκαέτης ὁ παῖς, πρῆγμα 114
ἐς αὐτὸν τοιόνδε γενόμενον ἐξέφηνέ μιν· ἔπαιζε ἐν τῇ κώμῃ ταύτῃ ἐν τῇ ἦσαν καὶ αἱ βουκολίαι αὗται· ἔπαιζε δὲ μετ' ἄλλων ἡλίκων[1] ἐν ὁδῷ· καὶ οἱ παῖδες παίζοντες εἵλοντο ἑωϋτῶν βασιλέα εἶναι τοῦτον δὴ τὸν τοῦ βουκόλου ἐπίκλησιν παῖδα· ὁ δὲ αὐτέων διεταξε τοὺς μὲν, οἰκίας οἰκοδομέειν, τοὺς δὲ, δορυφόρους εἶναι, τῶν δέ κού τινα αὐτέων, ὀφθαλμὸν βασιλῆος [m]εἶναι, τῷ δέ τινι, τὰς ἀγγελίας φέρειν ἐδίδου γέρας, ὡς ἑκάστῳ ἔργον προστάσσων· εἷς δὴ τούτων τῶν παιδίων συμπαίζων, ἐὼν Ἀρτεμβάρεος παῖς, ἀνδρὸς δοκίμου ἐν Μήδοισι, οὐ γὰρ δὴ ἐποίησε τὸ προσταχθὲν ἐκ τοῦ Κύρου, ἐκέλευε αὐτὸν τοὺς ἄλλους παῖδας διαλαβέειν· πειθομένων δὲ τῶν παίδων, ὁ Κῦρος τὸν παῖδα τρηχέως κάρτα περίεσπε μαστιγέων· ὁ δὲ, ἐπεί τε μετείθη τάχιστα, ὥς γε δὴ ἀνάξια ἑωϋτοῦ παθὼν, μᾶλλόν τι περιημέκτεε· κατελθὼν δὲ ἐς πόλιν, πρὸς τὸν πατέρα ἀποικτίζετο τῶν ὑπὸ Κύρου ἤντησε· λέγων δὲ οὐ Κύρου, (οὐ γάρ κω ἦν τοῦτο τοὔνομα)

pro, proconsul, proprætor; et vocem προβούλους ita intelligendam esse. Herod. vi. 7.

[1] Cf. 34. huj. ita quoque recentiores fere omnes, pro coætaneis. Homero usitatiora sunt ὁμῆλιξ, ὁμηλικίη· sed simplicem etiam vocem adhibuit Il. Π'. 808. Od. Σ'. 372.

[m] Vid. supr. 99, 100.

ἀλλὰ πρὸς τοῦ βακχίου τοῦ Ἀστυάγεος παιδός· ὁ δὲ Ἀρ-
τεμβάρης ὀργῇ, ὡς εἶχε, ἐλθὼν παρὰ τὸν Ἀστυάγεα,
καὶ ἅμα ἀγόμενος τὸν παῖδα, ἀνάρσια[n] πρήγματα ἔφη
πεπονθέναι, λέγων· "Ὦ βασιλεῦ, ὑπὸ τοῦ σοῦ δούλου,
"βακχίου δὲ παιδός, ὧδε πεπουρίσμεθα·" δεικνὺς τοῦ
115 παιδὸς τοὺς ὤμους. Ἀκούσας δὲ καὶ ἰδὼν ὁ Ἀστυάγης,
θέλων τιμωρῆσαι τῷ παιδὶ τιμῆς τῆς Ἀρτεμβάρεος
ἕνεκα, μετεπέμπετο τόν τε βακχίλον καὶ τὸν παῖδα· ἐπεί
τε δὲ παρῆσαν ἀμφότεροι, βλέψας πρὸς τὸν Κῦρον ὁ
Ἀστυάγης ἔφη· "Σὺ δή, ἐὼν τοῦδε τοιούτου ἐόντος παῖς,
"ἐτόλμησας τὸν τοῦδε παῖδα ἐόντος πρώτου παρ' ἐμοὶ
"ἀεικείῃ[o] τοιῇδε περισπεῖν;" Ὁ δὲ ἀμείβετο ὧδε· "Ὦ
"δέσποτα, ἐγὼ δὲ ταῦτα τοῦτον ἐποίησα σὺν δίκῃ· οἱ
"γάρ με ἐκ τῆς κώμης παῖδες, τῶν καὶ ὅδε ἦν, παί-
"ζοντες, σφέων αὐτῶν ἐξήσαντο βασιλέα· ἐδόκεον γάρ
"σφι εἶναι ἐς τοῦτο ἐπιτηδειότατος· οἱ μέν νυν ἄλλοι παῖ-
"δες τὰ ἐπιτασσόμενα ἐπετέλεον, οὗτος δὲ ἀνηκούστεέ τε
"καὶ λόγον εἶχε οὐδένα· ἐς ὃ ἔλαβε τὴν δίκην· εἰ ὦν δὴ
"τοῦδε εἵνεκα ἄξιός τευ κακοῦ εἰμι, ὧδέ τοι πάρειμι."
116 Ταῦτα λέγοντος τοῦ παιδὸς τὸν Ἀστυάγεα ἐσῆλθε ἀνά-
γνωσις αὐτοῦ· καί οἱ ὅ, τε χαρακτὴρ τοῦ προσώπου προσ-
φέρεσθαι ἐδόκεε ἐς ἑωυτόν, καὶ ἡ ὑπόκρισις ἐλευθερωτέρη
εἶναι, ὅ, τε χρόνος τῆς ἐκθέσιος τῇ ἡλικίῃ τοῦ παιδὸς
ἐδόκεε συμβαίνειν· ἐκπλαγεὶς δὲ τούτοισι, ἐπὶ χρόνον
ἄφθογγος ἦν· μόγις δὲ δή κου ἀνενειχθεὶς, εἶπε (θέ-
λων ἐκπέμψαι τὸν Ἀρτεμβάρεα, ἵνα τὸν βακχίλον μοῦ-
νον λαβὼν βασανίσῃ) "Ἀρτέμβαρες, ἐγὼ ταῦτα ποι-

[n] Hom. Il. Ω'. 365. — δυσ-
μενέες; καὶ ἀνάρσιοι—conf. etiam
Od. Κ'. 459. et alibi passim.

[o] Hom. Od. Δ'. 244.—πλη-
γῆσιν ἀεικελίῃσι·—conf. autem
73. huj. et iii. 160.

" ήσω, ὥςε σε καὶ τὸν παῖδα τὸν σὸν μηδὲν ἐπιμέμ-
" φεσθαι·" τὸν μὲν δὴ Ἀρτεμβάρεα πέμπει· τὸν δὲ
Κῦρον ἦγον εἴσω οἱ θεράποντες, κελεύσαντος τοῦ Ἀςυά-
γεος· ἐπεὶ δὲ ὑπελέλειπτο ὁ βȣκόλος μȣ̃νος, μȣνωθέντα
τάδε αὐτὸν εἴρετο ὁ Ἀςυάγης, κόθεν λάβοι τὸν παῖδα,
καὶ τίς εἴη ὁ παραδȣ́ς; ὁ δὲ ἐξ ἑωϋτȣ̃ τε ἔφη γεγονέναι,
καὶ τὴν τεκȣ̃σαν αὐτὸν ἔτι εἶναι παρ' ἑωϋτῷ. Ἀςυάγης
δέ μιν ȣ̓κ εὖ βȣλεύεσθαι ἔφη, ἐπιθυμέοντα ἐς ἀνάγκας
μεγάλας ἀπικνέεσθαι· ἅμα τε λέγων ταῦτα, ἐσήμαινε
τοῖσι δορυφόροισι λαμβάνειν αὐτόν· ὁ δὲ, ἀγόμενος ἐς
τὰς ἀνάγκας, οὕτω δὴ ἔφαινε τὸν ἐόντα λόγον· ἀρχό-
μενος δὴ ἀπ' ἀρχῆς, διεξῄει τῇ ἀληθηΐῃ χρεώμενος· καὶ
κατέβαινε ἐς λιτάς τε, καὶ συγγνώμην ἑωϋτῷ κελεύων
ἔχειν αὐτόν. Ἀςυάγης δὲ, τοῦ μὲν βȣκόλȣ τὴν ἀλη- 117
θηΐην ἐκφήναντος, λόγον ἤδη καὶ ἐλάσσω ἐποιέετο· Ἁρ-
πάγῳ δὲ καὶ μεγάλως μεμφόμενος, καλέειν αὐτὸν τοὺς
δορυφόρȣς ἐκέλευε· ὡς δέ οἱ παρῆν ὁ Ἅρπαγος, εἴρετό
μιν ὁ Ἀςυάγης, " Ἅρπαγε, τέῳ δὴ μόρῳ τὸν παῖδα
" κατεχρήσαο, τόν τοι παρέδωκα ἐκ θυγατρὸς γεγονότα
" τῆς ἐμῆς;" ὁ δὲ Ἅρπαγος ὡς εἶδε τὸν βȣκόλον ἔνδον
ἐόντα, οὐ τρέπεται ἐπὶ ψευδέα ὁδὸν, ἵνα μὴ ἐλεγχό-
μενος ἁλίσκηται, ἀλλὰ λέγει τάδε· " Ὦ βασιλεῦ,
" ἐπεί τε παρέλαβον τὸ παιδίον, ἐβȣ́λευον σκοπῶν
" ὅκως σοί τε ποιῶ κατὰ νόον, καὶ ἐγὼ πρός σε γε-
" νόμενος ἀναμάρτητος, μήτε θυγατρὶ τῇ σῇ, μήτε
" αὐτῷ σοι εἴην αὐθέντης· ποιῶ δὴ ὧδε· καλέσας τὸν
" βȣκόλον τόνδε, παραδίδωμι τὸ παιδίον, φὰς σέ τε
" εἶναι τὸν κελεύοντα ἀποκτεῖναι αὐτό· καὶ λέγων τοῦτό
" γε ȣ̓κ ἐψευδόμην, σὺ γὰρ ἐνετέλλεο ȣ̓́τω· παραδί-
" δωμι μέντοι τῷδε κατὰ τάδε, ἐντειλάμενος θεῖναί

Harpagi excusatio.

" μιν ἐς ἔρημον οὖρος, καὶ παραμένοντα φυλάσσειν ἄχρι
" οὗ τελευτήσει· ἀπειλήσας παντοῖα τῷδε, ἢν μὴ τάδε
" ἐπιτελέα [p] ποιήσῃ· ἐπείτε δὲ, ποιήσαντος τούτου τὰ
" κελευόμενα, ἐτελεύτησε τὸ παιδίον, πέμψας τῶν
" εὐνούχων τοὺς πιστοτάτους, καὶ εἶδον δι' ἐκείνων, καὶ
" ἔθαψά μιν· οὕτως ἔσχε, ὦ βασιλεῦ, περὶ τοῦ πρήγ-
118 " ματος τούτου· καὶ τοιούτῳ μόρῳ ἐχρήσατο ὁ παῖς." Ἅρ-
παγος μὲν δὴ τὸν ἰθὺν ἔφαινε λόγον. Ἀστυάγης δὲ,
κρύπτων τόν οἱ ἐνείχεε χόλον διὰ τὸ γεγονὸς, πρῶτα μὲν
κατάπερ ἤκουσε αὐτὸς πρὸς τοῦ βουκόλου τὸ πρῆγμα,
πάλιν ἀπηγέετο τῷ Ἁρπάγῳ, μετὰ δὲ, ὥς οἱ ἐπαλλι-
λόγητο, κατέβαινε λέγων, ὡς περίεστί τε ὁ παῖς, καὶ τὸ
γεγονὸς ἔχει καλῶς. " Τῷ τε γὰρ πεποιημένῳ," ἔφη
117 λέγων, " ἐς τὸν παῖδα τοῦτον ἔκαμνον μεγάλως, καὶ
" θυγατρὶ τῇ ἐμῇ διαβεβλημένος, οὐκ ἐν ἐλαφρῷ ἐποι-
" εύμην· ὡς ὦν τῆς τύχης εὖ μετεστεώσης, τοῦτο μὲν,
" τὸν σεωϋτοῦ παῖδα ἀπόπεμψον παρὰ τὸν παῖδα τὸν
" νεήλυδα· τοῦτο δὲ (σῶστρα τοῦ παιδὸς γὰρ μέλλω
" θύειν τοῖσι θεῶν τιμὴ αὕτη προσκέεται) πάρισθί μοι
119 " ἐπὶ δεῖπνον." Ἅρπαγος μὲν, ὡς ἤκουσε ταῦτα, προσ-
κυνήσας, καὶ μεγάλα ποιησάμενος ὅτι τε ἡ ἁμαρτάς οἱ ἐς
δέον ἐγεγόνεε, καὶ ὅτι ἐπὶ τύχῃσι χρηστῇσι ἐπὶ δεῖπνον
ἐκέκλητο, ἤϊε ἐς τὰ οἰκία· ἐσελθὼν δὲ τὴν ταχίστην, ἣν
γάρ οἱ παῖς εἷς μοῦνος, ἔτεα τρία καὶ δέκα κου μάλιστα
γεγονὼς, τοῦτον ἐκπέμπει, ἰέναι τε κελεύων ἐς Ἀστυά-
γεος, καὶ ποιέειν ὅ, τι ἂν ἐκεῖνος κελεύοι· αὐτὸς δὲ περι-

[p] Ita Hippocr. Ὅρκ. iii. Ὅρκον οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι —εἴη ἐπαύρασθαι καὶ βίου κ. τ. λ. et Melissa in Epist. ad Cleareten inter Pythagor. Fragm. Galei Opusc. Mythol. p. 749. ἀρέσκειν τῷ αὐτᾶς ἀνδρὶ, ἐπιτελέας ποιεῦσαν τὰς ἐκείνῳ θελήσιας.

χαρὴς ἐὼν, φράζει τῇ γυναικὶ τὰ συγκυρήσαντα. Ἀστυάγης δὲ, ὡς οἱ ἀπίκετο ὁ Ἁρπάγου παῖς, σφάξας αὐτὸν, καὶ καλὰ μέλεα διελὼν, τὰ μὲν ὤπτησε, τὰ δὲ ἕψησε τῶν κρεῶν· εὐτυκτα δὲ ποιησάμενος, εἶχε ἑτοῖμα· [q] ἐπείτε δὲ, τῆς ὥρης γενομένης τοῦ δείπνου, παρῆσαν οἵ τε ἄλλοι [r] δαιτυμόνες, καὶ ὁ Ἅρπαγος· τοῖσι μὲν ἄλλοισι καὶ αὐτῷ Ἀστυάγει παρεῖθέατο τράπεζαι ἐπιπλέαι μηλείων κρεῶν, Ἁρπάγῳ δὲ, τοῦ παιδὸς τὲ ἑωϋτοῦ, πλὴν κεφαλῆς τε καὶ ἄκρων χειρῶν τε καὶ ποδῶν, τἄλλα πάντα· ταῦτα δὲ χωρὶς ἔκειτο ἐπὶ κανέῳ καλαικεκαλυμμένα· ὡς δὲ τῷ Ἁρπάγῳ ἐδόκεε ἄλις ἔχειν τῆς βορῆς, Ἀστυάγης εἴρετό μιν εἰ ἡσθείη τι τῇ θοίνῃ; φαμένου δὲ Ἁρπάγου καὶ κάρτα ἡσθῆναι, παρέφερον, τοῖσι προσέκειτο, τὴν κεφαλὴν τοῦ παιδὸς καλαικεκαλυμμένην, καὶ τὰς χεῖρας καὶ τὲς πόδας. Ἅρπαγον δὲ ἐκέλευον προσιέντες ἀποκαλύπτειν τε καὶ λαβεῖν τὸ βούλεται αὐτέων· πειθόμενος δὲ ὁ Ἅρπαγος, καὶ ἀποκαλύπτων, ὁρᾷ τὲ παιδὸς τὰ λείμματα· ἰδὼν δὲ, ὅτε ἐξεπλάγη, ἐντός τε ἑωϋτοῦ γίνεται. εἴρετο δὲ αὐτὸν ὁ Ἀστυάγης εἰ γινώσκοι ὅτευ θηρίου κρέα βεβρώκοι; ὁ δὲ καὶ γινώσκειν ἔφη, καὶ ἀρεστὸν εἶναι πᾶν τὸ ἂν βασιλεὺς ἔρδῃ· τύπτουσι δὲ

Aſtyagis crudelitas.

[q] Euſtath. ad Hom. Il. Σ'. 506. Ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς Αἰλίου Διονυσίου φέρεται, ὡς Ἀτλικὰ μὲν τὸ εἶτα καὶ ἔπειτα, τὸ δὲ εἶτε φησὶ καὶ ἔπειτε Ἰακά· διὸ φησὶ καὶ παρ' Ἡροδότῳ κεῖνται. Cf. ii. 52.

[r] Hom. Od. Θ'. 66. Μέσσῳ δαιτυμόνων·—Ι'. 7. Δαιτυμόνες δ' ἀνὰ δῶματ'—et in Odyſſ. alibi ſæpe. Vox ipſa Homerica, a recentioribus (Herodoto et Platone exceptis, qui Ὁμηρικώτατοι ſunt) raro uſurpata. Ὅσον δὲ χρόνον, inquit Plutarchus, (Symp. ii. ſub fin.) ἡ Μοῖρα καὶ ἡ Λάχεσις ἰσότητι τὴν περὶ τὰ δεῖπνα καὶ συμπόσια κοινωνίαν ἐβράβευον, ἄθλιν ἰδεῖν ἄκοσμον ἦν οὐδ' ἀνελεύθερον· ἀλλὰ καὶ τὰ δεῖπνα δαῖτας ἐκάλουν, καὶ τὲς ἐστιωμένους δαιτυμόνας, δαιτρὸς δὲ τὲς τραπεζοκόμους, ἀπὸ τῆς διαιρεῖν καὶ διανέμειν.

ἀμειψάμενος, καὶ ἀναλαβὼν τὰ λοιπὰ τῶν κρεῶν, ἤιε ἐς τὰ οἰκία· ἐνθεῦτεν δὲ ἔμελλε, ὡς ἐγὼ δοκέω, ἁλίσας θάψειν τὰ πάντα.

120 XXVIII. Ἁρπάγῳ μὲν Ἀστυάγης δικὴν ταύτην ἐπέθηκε· Κύρου δὲ πέρι βουλεύων, ἐκάλεε τοὺς αὐτοὺς τῶν μάγων οἳ τὸ ἐνύπνιόν οἱ ταύτῃ ἔκριναν· ἀπικομένους δὲ εἴρετο ὁ Ἀστυάγης τῇ ἔκρινάν οἱ τὴν ὄψιν· οἱ δὲ κατὰ ταυτὰ εἶπαν, λέγοντες ὡς βασιλεῦσαι χρῆν τὸν παῖδα εἰ ἐπέζωσε, καὶ μὴ ἀπέθανε πρότερον· ὁ δὲ ἀμείβεται αὐτοὺς τοῖσδε· "Ἔστι τε ὁ παῖς καὶ περίεστι· καί μιν ἐπ' ἀγροῦ "διαιτώμενον οἱ ἐκ τῆς κώμης παῖδες ἐστήσαντο βασι- "λέα· ὁ δὲ, πάντα ὅσαπερ οἱ ἀληθεῖ λόγῳ βασιλῆες, "ἐτελέωσε ποιήσας· καὶ γὰρ δορυφόρους, καὶ θυρωροὺς, καὶ "ἀγγελιηφόρους, καὶ τὰ λοιπὰ πάντα διατάξας [s] ἦρχε· "καὶ νῦν ἐς τί ὑμῖν ταῦτα φαίνεται φέρειν;" Εἶπαν οἱ μάγοι· "Εἰ μὲν περίεστί τε, καὶ ἐβασίλευσε ὁ παῖς μὴ "ἐκ προνοίης τινὸς, θάρσει τε τούτου εἵνεκα, καὶ θυμὸν "ἔχε ἀγαθόν· οὐ γὰρ ἔτι τοδεύτερον ἄρξει· παρὰ "σμικρὰ γὰρ καὶ τῶν λογίων ἡμῖν ἔνια κεχώρηκε· καὶ "τάγε τῶν ὀνειράτων ἐχόμενα [t], τελέως ἐς ἀσθενὲς ἔρ- "χεται." Ἀμείβεται Ἀστυάγης τοῖσδε καὶ αὐτὸς· "Ὦ μά- "γοι, ταύτῃ πλεῖστος γνώμην εἰμὶ, βασιλῆος ὀνομασθέντος "τοῦ παιδὸς, ἐξήκειν τε τὸν ὄνειρον, καί μοι τὸν παῖδα "τοῦτον εἶναι δεινὸν οὐδὲν ἔτι· ὅμως μέν γέ τοι συμβου-

Aſtyagis deliberatio cum magis.

[s] Εἶχε. Codd. nonnulli; probante Toupio, vid. Emend. in Suid. ad v. συμπαραινέσας. Ita ii. 52. ὅτι κόσμῳ θέντες τὰ πάντα πρήγματα καὶ πάσας νομὰς εἶχον.

[t] Ita ſæpe Herodotus; vid. 193. huj. καρπῶν ἐχόμενα. Cf et iii. 25. σιτίων ἐχόμενα. v. 49. τοῖσι οὔτε χρυσοῦ ἐχόμενόν ἐστι οὐδὲν, οὔτε ἀργύρου. viii. 142. καὶ τὰ ἐς πόλεμον ἄχρηστα οἰκετέων ἐχόμενα.

" λάβετέ μοι, εὖ περισκεψάμενοι, τὰ μέλλει ἀσφα-
" λέσθαι εἶναι οἴκῳ τε τῷ ἐμῷ καὶ ὑμῖν." Εἶπαν πρὸς
ταῦτα οἱ μάγοι· " Ὦ βασιλεῦ, καὶ αὐτοῖσι ἡμῖν περὶ
" πολλοῦ ἐστι καλορθοῦσθαι ἀρχὴν τὴν σήν· κείνως μὲν γὰρ
" ἀλλοτριῶται, ἐς τὸν παῖδα τοῦτον [u] περιιοῦσα ἐόντα
" Πέρσην· ἡμεῖς ἐόντες Μῆδοι, δουλώμεθά τε, καὶ λό-
" γου ἀδενὸς γινόμεθα πρὸς Περσέων, ἐόντες ξεῖνοι· σέο
" δ' ἐνεστεῶτος βασιλῆος, ἐόντος πολιήτεω, καὶ ἄρχομεν
" τὸ μέρος, καὶ τιμὰς πρὸς σέο μεγάλας ἔχομεν· οὕτω
" ὦν πάντως ἡμῖν σέο τε καὶ τῆς σῆς ἀρχῆς προοπτέον
" ἐστί· καὶ νῦν εἰ φοβερόν τι ἐωρῶμεν, πᾶν ἂν σοι προ-
" εφραζομεν· νῦν δὲ ἀποσκήψαντος τοῦ ἐνυπνίου ἐς
" φλαῦρον, αὐτοί τε θαρσέομεν, καί σοι ἕτερα τοιαῦτα
" παρακελευόμεθα· τὸν δὲ παῖδα τοῦτον ἐξ ὀφθαλμῶν
" ἀποπεμψαι ἐς Πέρσας τε καὶ τοὺς γειναμένους." Ἀκού- 121
σας ταῦτα ὁ Ἀστυάγης, ἐχάρη τε, καὶ καλέσας τὸν
Κῦρον, ἔλεγέ οἱ τάδε· " Ὦ παῖ, σὲ γὰρ ἐγὼ δι' ὄψιν
" ὀνείρου οὐ τελέην ἠδίκεον, τῇ σεωυτοῦ δὲ μοίρῃ περιεῖς·
" νῦν ὦν ἴθι χαίρων ἐς Πέρσας· πομπὸς δ' ἐγὼ ἅμα
" πέμψω· ἐλθὼν δὲ ἐκεῖ, πατέρα τε καὶ μητέρα εὑρή-
" σεις, οὐ κατὰ Μιθραδάτεω τε τὸν βοκόλον καὶ τὴν
" γυναῖκα αὐτοῦ." Ταῦτα εἶπας ὁ Ἀστυάγης, ἀπο-
Cyrus mittitur in Perfas. πέμπει τὸν Κῦρον· νοσήσαντα δέ μιν ἐς τὸ Καμβύσεω 122
τὰ οἰκία ἐδέξαντο οἱ γειναμένοι· καὶ δεξάμενοι, ὡς ἐπύ-
θοντο, μεγάλως ἀπαίζοντο, οἷα δὴ ἐλπίσαντες αὐτίκα
τότε τελευτῆσαι· ἰσόρροπόν τε ὅτεῳ τρόπῳ ἐγεγένητο· ὁ

[u] Regnum vel imperium fic dicitur in aliquem περιελθεῖν, περιχωρέειν, περιιέναι, in hoc libro 187, 210. ii. 120. iii. 65, 140. vi. 111.

δέ σφι ἔλεγε, φὰς[x] προτοῦ μὲν οὐκ εἰδέναι, ἀλλὰ ἡμαρτηκέναι πλεῖστον, κατ' ὁδὸν δὲ πυθέσθαι πᾶσαν τὴν ἑωϋτοῦ πάθην· ἐπίστασθαι μὲν γὰρ ὡς βουκόλου τοῦ Ἀστυάγεος εἴη παῖς, ἀπὸ δὲ τῆς κεῖθεν ὁδοῦ τὸν πάντα λόγον τῶν πομπῶν πυθέσθαι· τραφῆναι δὲ ἔλεγε ὑπὸ τῆς τοῦ βουκόλου γυναικός· ἤϊέ τε ταύτην αἰνέων διαπαντός· ἦν τέ οἱ ἐν τῷ λόγῳ τὰ [y] πάντα ἡ Κυνώ· οἱ δὲ τοκέες παραλαβόντες τὸ οὔνομα τοῦτο, (ἵνα θειοτέρως δοκέῃ τοῖσι Πέρσῃσι πεῖναί σφι ὁ παῖς) κατέλαβον φάτιν ὡς ἐκκείμενον Κῦρον κύων ἐξέθρεψε· ἐνθεῦτεν μὲν ἡ φάτις αὕτη κεχωρήκεε.

123 XXIX. Κύρῳ δὲ ἀνδρευμένῳ, καὶ ἐόντι τῶν ἡλίκων ἀνδρειοτάτῳ καὶ προσφιλεστάτῳ, προσέκειτο ὁ Ἅρπαγος, δῶρα πέμπων, τίσασθαι Ἀστυάγεα ἐπιθυμέων· ἀπ' ἑωϋτοῦ γὰρ ἐόντος ἰδιώτεω οὐκ ἐνεώρα τιμωρίην ἐσομένην ἐς Ἀστυάγεα, Κῦρον δὲ ὁρέων ἐπιτρεφόμενον, ἐποιέετο σύμμαχον, τὰς πάθας τὰς Κύρου τῇσι ἑωϋτοῦ ὁμοιούμενος. Πρὸ δ' ἔτι τούτου τάδε οἱ κατέργαστο· ἐόντος τοῦ Ἀστυάγεος[z] πικροῦ ἐς τοὺς Μήδους, συμμίσγων ἑνὶ ἑκάστῳ ὁ Ἅρπαγος τῶν πρώτων Μήδων, ἀνέπειθε ὡς χρὴ Κῦρον προστησαμένους τὸν Ἀστυάγεα παῦσαι τῆς βασιληΐης· κατεργασμένου δέ οἱ τούτου, καὶ ἐόντος ἑτοίμου, οὕτω δὴ τῷ Κύρῳ διαιτωμένῳ ἐν Πέρσῃσι βουλόμενος ὁ Ἅρπαγος δηλῶσαι τὴν ἑωϋτοῦ γνώμην, ἄλλως μὲν οὐδαμῶς εἶχε, ἅτε τῶν ὁδῶν φυλασσομένων, ὁ δὲ ἐπιτεχνᾶται τοιόνδε· [a] λαγὸν μηχανησάμενος, καὶ ἀνασχίσας

[x] Similiter ἔφη λέγων· v. 36, et 49.

[y] Cf. iii. 157. πάντα δὴ ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος.

[z] Conf. Diodor. Excerpt. t. ii. 553.

[a] Ionum est λαγὸς, λαγοῦ, docente Athenæo ix. 400. et, eum

τούτου τὴν γαστέρα, καὶ οὐδὲν ἀποτίλας, ὡς δὲ εἶχε, οὕτω ἐσέθηκε βιβλίον, γράψας τά οἱ ἐδόκεε· ἀπορράψας δὲ τοῦ λαγοῦ τὴν γαστέρα, καὶ δίκτυα δοὺς, ἅτε θηρευτῇ, τῶν οἰκετέων τῷ πιστοτάτῳ, ἀπέστειλε ἐς τοὺς Πέρσας, ἐντειλάμενός οἱ ἀπὸ γλώσσης, διδόντα τὸν λαγὸν Κύρῳ ἐπειπεῖν, αὐτοχειρίῃ μιν διελεῖν, καὶ μηδένα οἱ ταῦτα ποιεῦντι παρεῖναι. Ταῦτα δὲ δὴ ὦν ἐπιτελέα ἐγίνετο, 124
καὶ ὁ Κῦρος παραλαβὼν τὸν λαγὸν ἀνέσχισε· εὑρὼν δὲ ἐν αὐτῷ τὸ βιβλίον ἐνεὸν, λαβὼν ἐπελέγετο· τὰ δὲ γράμματα ἔλεγε τάδε· "Ὦ παῖ Καμβύσεω, [b]σὲ γὰρ "θεοὶ ἐπορέωσι, οὐ γὰρ ἄν κοτε ἐς τοσοῦτον τύχης ἀπί-"κευ, σὺ νῦν Ἀστυάγεα τὸν σεωϋτοῦ φονέα τίσαι· κατὰ "μὲν γὰρ τὴν τούτου προθυμίην τέθνηκας, τὸ δὲ κατὰ "θεούς τε καὶ ἐμὲ περιεῖς· τά σε καὶ πάλαι δοκέω "πάντα ἐκμεμαθηκέναι, σέο τε αὐτοῦ πέρι, ὡς ἐπρήχ-"θη, καὶ οἷα ἐγὼ ὑπὸ Ἀστυάγεος πέπονθα, ὅτι σε οὐκ "ἀπέκτεινα, ἀλλὰ ἔδωκα τῷ βουκόλῳ. Σὺ νῦν ἢν βού-"λῃ ἐμοὶ πείθεσθαι, τῆσπερ Ἀστυάγης ἄρχει χώρης, "ταύτης ἁπάσης ἄρξεις· Πέρσας γὰρ ἀναπείσας ἀπί-"στασθαι, στρατηλάτεε ἐπὶ Μήδους· καὶ ἤν τε ἐγὼ ὑπὸ "Ἀστυάγεος ἀποδεχθῶ στρατηγὸς ἀντία σευ, ἔστι τοι "τὰ σὺ βούλεαι, ἤν τε τῶν τις δοκίμων ἄλλος Μήδων· "πρῶτοι γὰρ οὗτοι ἀποστάντες ἀπ' ἐκείνου, καὶ γινόμενοι "πρὸς σέο, Ἀστυάγεα καταιρέειν πειρήσονται· ὡς ὦν "ἑτοίμου τοῦ γε ἐνθάδε ἐόντος, ποίεε ταῦτα, καὶ ποίεε "κατὰ τάχος."

XXX. Ἀκούσας ταῦτα ὁ Κῦρος ἐφρόντιζε ὅτεῳ 125

secuto, Eustathio in Hom. Od. Ε'. 260.

[b] Hom. Od. Γ'. 27.—οὐ γὰρ ὀΐω Οὔ σε θεῶν ἀέκητι γενέσθαι τε τραφέμεν τε.

τρόπῳ σοφῷ ἀτῷ Πέρσας ἀναπείσει ἀπίσασθαι· φροντίζων δὲ, εὑρισκε῀ται ταῦτα καιριώτα῀τα εἶναι· ἐποίεε δὴ ταῦτα· γράψας ἐς βιβλίον τὰ ἐβούλετο, ἀλίῃσι τῶν Περσέων ἐποιήσατο· με῀τὰ δὲ, ἀναπτύξας τὸ βιβλίον, καὶ ἐπιλεγόμενος ἔφη Ἀσυάγεά μιν στρατηγὸν Περσέων ἀποδεικνύναι. "Νῦν," ἔφη τε λέγων, "ὦ Πέρσαι, πρόα-"γορεύω ὑμῖν, παρεῖναι ἔκαστον ἔχον῀τα δρέπανον." Κῦρος μὲν ταῦτα προηγόρευσε. Ἔστι δὲ Περσέων συχνὰ γένεα· καὶ τὰ μὲν αὐτέων ὁ Κῦρος συνάλισε, καὶ ἀνέπεισε ἀπίσασθαι ἀπὸ Μήδων· ἔστι δὲ τάδε, ἐξ ὧν ὦλλοι πάντες ἀρτέα῀ται[c] Πέρσαι, Πασαργάδαι, Μαράφιοι, Μάσπιοι· τα῀τέων Πασαργάδαι εἰσὶ ἄριστοι· ἐν τοῖσι καὶ Ἀχαιμενίδαι εἰσὶ Φρήτρη, ἔνθεν οἱ Βασιλέες οἱ Περσεῖδαι γεγόνασι· ἄλλοι δὲ Πέρσαι εἰσὶ οἵδε, Παντιαλαῖοι, Δηρουσιαῖοι, [d]Γερμάνιοι· ἅπαντες μὲν πάντες ἀροτῆρές εἰσι· οἱ δὲ ἄλλοι 126 νομάδες, Δάοι, Μάρδοι, Δροπικοὶ, Σαγάρτιοι. Ὡς δὲ συνῆσαν ἅπαντες ἔχον῀τες τὸ συνειλεγμένον, ἐνθαῦτα ὁ Κῦρος, ἐὼν γάρ τις χῶρος τῆς Περσικῆς ἀκανθώδης ὅσον τε ἐπ᾽ ὀκ῀τωκαίδεκα σταδίους, ἢ εἴκοσι, πάντα τοῦτον σφι τὸν χῶρον προεῖπε ἐξημερῶσαι ἐν ἡμέρῃ. Ἐπε῀τελεσάντων δὲ τῶν Περσέων τὸν προκείμενον ἄεθλον, δεύτερά σφι προεῖπε, ἐς τὴν ὑστεραίην παρεῖναι λελυμένους· ἐν δὲ τούτῳ τά τε αἰπόλια καὶ τοὺς ποίμνας καὶ τὰ βουκόλια ὁ Κῦρος πάντα τὰ πάρεστα συνάλισας ἐς τωὐτὸ, ἔθυε, καὶ παρεσκεύαζε ὡς δεξόμενος[e] τῶν Περσέων τὸν στρατόν· συὸς δὲ, οἴνῳ τε καὶ σιτίοισι ὡς ἐπιτηδεωτάτοισι·

Persarum genera.

[c] iii. 19. καὶ πᾶς ἐκ Φοινίκων ἥρπηλο ὁ ναυτικὸς στρατός. sic etiam vi. 109. ταῦτα ὧν πάντα ἔς σε νῦν τείνει, καὶ ἐκ σέο ἄρτηται.

[d] Forte Καρμάνιοι.

[e] v. 18. ἐδέκετο τὲς Πέρσας. vii. 119. ὡς δὲ δεῖπνα γίνοιτο ὥρη, οἱ μὲν δεκόμενοι ἔχεσκον πόνον.

ἀπικομένους δὲ τῇ ὑστεραίῃ τοὺς Πέρσας κατακλίνας ἐς λειμῶνα, εὐώχεε· ἐπεί τε δὲ ἀπὸ δείπνου ἦσαν, εἴρετό σφεας ὁ Κῦρος, κότερα τὰ τῇ προτεραίῃ εἶχον, ἢ τὰ παρεόντα σφι εἴη αἱρετώτερα· οἱ δὲ ἔφασαν πολλὸν εἶναι αὐτέων τὸ μέσον· τὴν μὲν γὰρ προτέρην ἡμέρην πάντα σφι κακὰ ἔχειν, τὴν δὲ τότε παρεοῦσαν, πάντα ἀγαθά· παραλαβὼν δὲ τοῦτο τὸ ἔπος ὁ Κῦρος παρεγύμνου τὸν πάντα λόγον, λέγων· "Ἄνδρες Πέρσαι, "οὕτω ὑμῖν ἔχει· βουλομένοισι μὲν ἐμέο [f] πείθεσθαι, "ἔστι τάδε τε καὶ ἄλλα μυρία ἀγαθὰ, οὐδένα πόνον "δουλοπρεπέα ἔχουσι· μὴ βουλομένοισι δὲ ἐμέο πεί-"θεσθαι, εἰσὶ ὑμῖν πόνοι τῷ χθιζῷ παραπλήσιοι "ἀναρίθμητοι· νῦν ὦν ἐμέο πειθόμενοι, γίνεσθε ἐλεύ-"θεροι· αὐτός τε γὰρ δοκέω θείῃ τύχῃ γεγονὼς, τάδε "ἐς χεῖρας ἄγεσθαι, καὶ ὑμέας ἥγημαι ἄνδρας Μήδων "εἶναι οὐ φαυλοτέρους, οὔτε τἄλλα, οὔτε τὰ πολέμια· ὡς "ὦν ἐχόντων ὧδε, ἀπίστασθε ἀπ' Ἀστυάγεος τὴν τα-"χίστην."

Hos ad desciscendum hortatur Cyrus.

XXXI. Πέρσαι μέν νυν προστάτεω ἐπιλαβόμενοι, 127
ἄσμενοι ἐλευθεροῦντο, καὶ πάλαι δεινὸν ποιεύμενοι ὑπὸ Μήδων ἄρχεσθαι. Ἀστυάγης δὲ ὡς ἐπύθετο Κῦρον πρήσσοντα ταῦτα, πέμψας ἄγγελον ἐκάλεε αὐτόν· ὁ δὲ Κῦρος ἐκέλευε τὸν ἄγγελον ἀπαγγέλλειν, ὅτι πρότερον ἥξοι παρ' ἐκεῖνον ἢ αὐτὸς Ἀστυάγης βουλήσεται. Ἀκούσας δὲ ταῦτα ὁ Ἀστυάγης, Μήδους τε ὥπλισε πάν-

[f] Usitatum magis — ἔμοι πείθεσθαι — at Plato tamen de Repub. iii. 391. ὅτι οὐδ' ὅσιον ταῦτά γε κατὰ Ἀχιλλέως φάναι, καὶ ἄλλων λεγόντων πείθεσθαι. vid. etiam Xenoph. Κ. Π. iv. 5. ἀποροῦντες μὲν πῶς χρὴ καλοῦντος ἀπειθεῖν.

ται, καὶ στρατηγὸν αὐτέων, ὥστε θεοβλαβὴς [g] ἐὼν, ἀπέδεξε Ἅρπαγον, λήθην ποιεύμενος τά μιν ἐόργεε. Ὡς δ' οἱ Μῆδοι στρατευσάμενοι τοῖσι Πέρσῃσι συνέμισγον, οἱ μέν νυνες αὐτέων ἐμάχοντο, ὅστι μὴ τὸ λόγῳ μετέχον, οἱ δὲ αὐτομόλεον πρὸς τοὺς Πέρσας, οἱ δὲ πλεῖστοι ἐθε-
128 λοκακέον [h] τε καὶ ἔφευγον. Διαλυθέντος δὲ τοῦ Μηδικοῦ στρατεύματος αἰσχρῶς, ὡς ἐπύθετο τάχιστα ὁ Ἀστυάγης, ἔφη, ἀπειλέων τῷ Κύρῳ· "Ἀλλ' οὐδ' ὣς ὁ "Κῦρός γε χαιρήσει." Τοσαῦτα εἰπὰς, πρῶτον μὲν τῶν μάγων τοὺς ὀνειροπόλους, οἵ μιν ἀνέγνωσαν μετεῖναι τὸν Κῦρον, τούτους [i] ἀνεσκολόπισε· μετὰ δὲ, ὥπλισε τοὺς ὑπολειφθέντας τῶν Μήδων ἐν τῷ ἄστεϊ, νέους τε καὶ πρεσβύτας ἄνδρας· ἐξαγαγὼν δὲ τούτους, καὶ συμβαλὼν τοῖσι Πέρσῃσι, [k] ἐνικήθη· καὶ αὐτός τε Ἀστυάγης Astyages captivus.
129 ἐζωγρήθη, καὶ τοὺς ἐξήγαγε τῶν Μήδων ἀπέβαλε. Ἐόντι δὲ αἰχμαλώτῳ τῷ Ἀστυάγεϊ προσὰς ὁ Ἅρπαγος καλέχαιρέ τε καὶ κατεκερτόμεε· καὶ ἄλλα λέγων ἐς αὐτὸν [l] θυμαλγέα ἔπεα, ἐν δὴ καὶ εἴρετό μιν πρὸς τὸ ἑωυτοῦ δεῖπνον, τό μιν ἐκεῖνος συρφετῷ τοῦ παιδὸς ἐθοίνισε, ὅ, τι [m] εἴη ἡ ἐκείνου δουλοσύνη ἀντὶ τῆς βασιληίης; Ὁ δὲ

[g] Hom. Od Ψ'. 11. Μαῖα φίλη, μάργην σε θεοὶ θέσαν· οὔτε δύνασθαι Ἄφρονα ποινῆσαι, ἐν ἐπίφρονά περ μάλ' ἐόντα, Καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν· Οἵ σέ περ ἔβλαψαν.—vid. etiam Il. Σ'. 311. Νήπιοι· ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη· Ἕκτορι μὲν γὰρ ἐπήνησαν κακὰ μητιόωντι, Πηλιδάμαντι δ' ἄρ' ἔτις, ὃς ἐδάλην φράζετο βουλήν.

[h] Hom. Il. Ζ'. 523.—ἐκὼν μεθίεις τε, ἐν οὐκ ἐθέλεις.

[i] Cf. Diod. Excerp. t. ii. 553.

[k] Ad Paſargadas pugnatum eſt. cf. Strab. xv. 730.

[l] Hom. Od. Θ'. 272. Ἤφαιστος δ', ὡς ἓν θυμαλγέα μῦθον ἄκουσε. Et Ψ'. 183. Ὤ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες. vid. et Π'. 69.

[m] Similiter vi. 67. εἰρώτα τὸν Δημάρητον οἱοῖόν τι εἴη τὸ ἄρχειν μετὰ τὸ βασιλεύειν.

μιν προσδὼν ἀντείρετο, εἰ ἑωυτῷ ποιέεται τὸ Κύρου ἔργον; Ἅρπαγος δὲ ἔφη, αὐτὸς γὰρ γράψαι, τὸ πρῆγμα δὴ ἑωυτῷ δικαίως εἶναι. Ἀστυάγης δέ μιν ἀπέφαινε τῷ λόγῳ σκαιόταλόν τε καὶ ἀδικώταλον ἐόντα πάντων ἀνθρώπων· σκαιόταλον μέν γε, εἰ παρεὸν αὐτῷ βασιλέα γενέσθαι, εἰ δὴ δι' ἑωυτόν γε ἐπρήχθη τὰ παρεόντα, ἄλλῳ περιέθηκε τὸ κράτος· ἀδικώταλον δέ, ὅτι τοῦ δείπνου εἵνεκε Μήδους καταδέλωσε· εἰ γὰρ δὴ δέον πάντως περιθεῖναι ἄλλῳ τέῳ τὴν βασιληίην, καὶ μὴ αὐτὸν ἔχειν, δικαιότερον εἶναι Μήδων τέῳ περιβαλεῖν τοῦτο τὸ ἀγαθὸν ἢ Περσέων· νῦν δὲ Μήδους μὲν, ἀναιτίους τούτου ἐόντας, δούλους ἀντὶ δεσποτέων γεγονέναι, Πέρσας δὲ, δούλους ἐόντας τοπρὶν Μήδων, νῦν γεγονέναι δεσπότας. Ἀστυάγης μὲν νυν βασιλεύσας ἐπ' ἔτεα 130
A. C. 550. πέντε καὶ τριήκοντα, οὕτω τῆς βασιληίης κατεπαύθη. Μῆδοι δὲ ὑπέκυψαν Πέρσῃσι διὰ τὴν τότε πικρότητα, ἄρξαντες τῆς ἄνω Ἅλυος ποταμοῦ Ἀσίης ἐπ' ἔτεα τριήκοντα καὶ ἑκατὸν δυοῖν δέουσα[n], πάρεξ ἢ ὅσον οἱ Σκύθαι ἦρχον· ὑστέρῳ μέντοι χρόνῳ μετεμέλησέ τε σφι ταῦτα ποιήσασι, καὶ [o]ἀπέστησαν ἀπὸ Δαρείου· ἀποστάντες δὲ,

[n] *Spectatissima extat*, inquit Wesselingius, *eruditorum hominum ad hunc locum opera: vix ullus, qui antiqui temporis rationes iniit, atque Assyriorum, Medorum, et Persarum imperii principia ac ambitum finivit, eum neglectui habuit.* At nemini tamen, quod sciam, conatus sui feliciter cesserunt; neque id fortasse mirum, siquidem recte Strabo xv. 735. συνίδη δὲ τοῖς Πέρσαις, inquit, ἐνδοξοτάτοις γενέσθαι τῶν βαρβάρων παρὰ τοῖς Ἕλλησιν, ὅτι τῶν μὲν ἄλλων οὐδένες τῶν τῆς Ἀσίας ἀρξάντων Ἑλλήνων ἦρξαν οὐδ' ἤδεισαν οὐδ' ἐκεῖνοι τούτους, οὐδ' οἱ Ἕλληνες τοὺς βαρβάρους, ἀλλ' ἐπὶ μικρὸν μόνον ἐκ τῆς πόρρωθεν ἀκοῆς. Falsa sit necesse est chronologia quæ ex tam obscura rerum notitia conflatur.

[o] Olymp. sc. xciii. 1. Bell. Pelop. anno 24. conf. Xenoph. Hellen. i. 2.

ὀπίσω [p] καλεσράφησαν, μάχῃ νικηθέντες. Τότε δὲ ὑπὸ Ἀσυάγεος οἱ Πέρσαι τε καὶ ὁ Κῦρος ἐπαναστάντες, τοῖσι Μήδοισι, ἦρχον τὸ ἀπὸ τούτου τῆς Ἀσίης. Ἀσυάγεα δὲ Κῦρος, [q] κακὸν οὐδὲν ἄλλο ποιήσας, εἶχε παρ' ἑωυτῷ, ἐς ὃ ἐτελεύτησε. Οὕτω δὴ Κῦρος, γενόμενός τε καὶ τραφεὶς, καὶ βασιλεύσε, καὶ Κροῖσον ὕστερον τούτων ἄρξαντα ἀδικίης καλεσρέψατο, ὡς εἰρηταί μοι τοπρότερον· τοῦτον δὲ καλαστρεψάμενος, ὕστω πάσης τῆς Ἀσίης ἦρξε.

131 XXXII. Πέρσας δὲ οἶδα [r] νόμοισι τοιοῖσι χρεωμένους· [s] ἀγάλματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ ποιεύμενους ἱδρύεσθαι, ἀλλὰ καὶ τοῖσι ποιεῦσι μωρίην ὑπιφέρουσι· ὡς μὲν ἐμοὶ δοκέει, ὅτι οὐκ [t] ἀνθρωποφυέας Perſarum ritus et mores.

[p] Vid. ad vocem θαφθῆναι ii. 81.

[y] De Glauco Hippolochi f. cf. Hom. Il. Z'. 150, et ſeqq. Atqui Ionas reges Lycios a Glauco oriundos rebus ſuis præfeciſſe nemo, ut opinor, præter Herodotum memoravit. Contra abunde conſtat pleraſque Ionum urbes βασιλίας ſibi τοῦ γένους τοῦ Κοδριδῶν habuiſſe. Cf. ad 142. notas fere omnes, et Strabon. de Epheſo xiv. 633. Fortaſſe tamen in iis urbibus quæ Ionas in fœderis et amicitiæ ſocietatem ultro acceperunt οἱ Κοδρίδαι cum indigenis regibus conjunctim regnum ſortiti ſunt. Cæterum reges hoſce ex Melanthi et Codri ſtirpe oriundos recte Herodotus Καύκωνας Πυλίους appellavit; ſiquidem ut Strab. ix. 392. μετὰ τὴν τῶν Ἡρακλειδῶν κάθοδον καὶ τὸν τῆς χώρας μερισμὸν, ὑπ' αὐτῶν καὶ τῶν συγκατελθόντων αὐτοῖς Δωριέων, ἐκπεσεῖν τῆς οἰκείας συνέβη πολλοὺς εἰς τὴν Ἀττικὴν, ὧν ἦν καὶ ὁ τῆς Μεσσήνης βασιλεὺς Μέλανθος· ὗτος δὲ καὶ τῶν Ἀθηναίων ἐβασίλευσεν ἐκόντων νικήσας ἐκ μονομαχίας τὸν Βοιωτῶν βασιλέα Ξάνθον. Eadem habes apud Pauſan. ii. 18. quo in loco proſapia quoque Melanthi deſcripta eſt. Μέλανθον, inquit, τὸν Ἀνδροπόμπου τοῦ Βώρου τοῦ Πειθίλου τοῦ Περικλυμένου, quem ſciunt omnes ex Odyſſ. Λ'. 285. Neſtoris fratrem fuiſſe. Cum Melantho itaque οἱ Νηλεῖδαι εἰς Ἀθήνας ἀφίκοντο. Itaque Straboni xiv. 633. recte dicitur Νηλεὺς ἐκ Πύλου τὸ γένος ὤν· οἵ τε Μεσσήνιοι, καὶ οἱ Πύλιοι συγγένειάν τινα προσποιοῦνται, καθ' ἣν καὶ Μεσσήνιον τὸν Νέστορα οἱ νεώτεροι φασὶ ποιηταὶ, καὶ τοῖς περὶ Μέλανθον τὸν Κόδρου πατέρα πολλοὺς καὶ τῶν Πυλίων συνεξάραι φασιν εἰς τὰς Ἀθήνας· τοῦτον δὲ πάντα τὸν λαὸν μετὰ τῶν Ἰώνων κοινῇ στεῖλαι τὴν ἀποικίαν. Jam vero totam iſtam Peloponneſi oram occidentalem a Meſſenia ad Dymam uſque Caucones olim tenuere, (Strab. viii. 345.) qui et ipſi olim Arcades, et Pelaſgis affines. Recte igitur Herod. et hic Καύκωνας Πυλίους dixit, et ſupra Ἀρκάδας Πελασγούς.

πάντες Ἴωνες, ὅσοι ἀπ' Ἀθηνῶν γεγόνασι, καὶ [z] Ἀπατούρια ἄγουσι ὀρτήν· ἄγουσι δὲ πάντες, πλὴν Ἐφεσίων καὶ Κολοφωνίων· ἔστι γὰρ μοῦνοι Ἰώνων οὐκ ἄγουσι Ἀπα-
148 τούρια· καὶ οὔτοι καλά φόνα τινὰ σκῆψιν. Τὸ δὲ Παν- Panionium.
ιώνιόν ἐστι τῆς Μυκάλης χῶρος ἱρὸς, πρὸς ἄρκτον τετραμμένος, κοινῇ ἐξαιρημένος ὑπὸ Ἰώνων Ποσειδέωνι [a] Ἑλικωνίῳ· ἡ δὲ Μυκάλη ἐστὶ τῆς ἠπείρου ἄκρη, πρὸς

[z] Ἀθηναίων γὰρ περὶ Κιλαινῶν πρὸς Βοιωτοὺς πόλεμον ἀραμένων, Ξάνθος Βοιωτὸς προεκαλέσατο τῶν Ἀθηναίων βασιλέα Θυμοίτην· καὶ ἔτος μὲν οὐκ ἐδέξατο. Μέλανθος δέ τις Ἀρκὰς τὸ γένος ἐν Ἀττικῇ ὢν καὶ οἰκῶν, ὑπέσχη τὸ μονομάχιον· καὶ κατελθόντων αὐτῶν εἰς τὸ ἀφορισμένον πεδίον ἐπὶ τὸ μονομαχῆσαι, ὁ Μέλανθος δόλῳ ἀναιρεῖ τὸν Ξάνθον· προσιόντι γὰρ αὐτῷ ἔφη· Ἀδικεῖς, ὦ Ξάνθε, μόνος φήσας παραγενέσθαι, καὶ δεύτερος παραγενόμενος· ἐφ' ᾧ γραφεὶς ὁ Ξάνθος ὡς θεασόμενος τὸν ἥκοντα, ἐτρώθη παρὰ Μελάνθε, καὶ ἀπώλετο· ἀφ' ἧς καὶ τὴν ἑορτὴν Ἀθηναῖοι ταύτην ἄγουσιν, ἀπὸ τῆς ἀπάτης Μελάνθε Ἀπατούρια προσαγορεύσαντες. Scholiaſt. in Ariſtoph. Εἰρήν. 890.

[a] Pauſan. vii. 24. Ἐνταῦθα (xl ſc. ab Ægio ſtadiis) ᾤκητο Ἑλίκη πόλις, καὶ Ἴωσιν ἱερὸν ἁγιώτατον Ποσειδῶνος ἦν Ἑλικωνίου. Διαμεμενηκέναι δὲ σφίσι, καὶ ὡς ὑπὸ Ἀχαιῶν ἐκπεσόντες ἐς Ἀθήνας, καὶ ὕστερον ἐξ Ἀθηνῶν ἐς τὰ παραθαλάσσια ἀφίκοντο τῆς Ἀσίας, σέβεσθαι Ποσειδῶνα Ἑλικώνιον. Fuſius Strabo viii. 385. τὰς ἐκ τῆς Ἑλίκης ἐκπεσόντας Ἴωνας, inquit, αἰτεῖν πέμψαντας παρὰ τῶν Ἑλικέων, μάλιστα μὲν τὸ βρέτας τῷ Ποσειδῶνος· εἰ δὲ μή, τῆς γε ἱερᾶς τὴν ἀφίδρυσιν· ἐδόντων δὲ, πέμψαι πρὸς τὸ κοινὸν τῶν Ἀχαιῶν· τῶν δὲ ψηφισαμένων, ἐᾶν ὡς ὑπαχθῆσαι· τῇ δ' ἑξῆς χειμῶνι συμβῆναι τὸ πάθος· τὰς δ' Ἀχαιοὺς ὕστερον δῦναι τοῖς Ἴωσι τὴν ἀφίδρυσιν. Jam vero cum Homerus ταύτης τῆς θυσίας diſerte meminit Il. Υ'. 403. Αὐτὰρ ὁ θυμὸν ἄϊσθε, καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος Ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα, Κύρων ἑλκόντων· γάνυται δέ τε τοῖς Ἐνοσίχθων· de eo loco (Strab. viii. 384.) varie diſputarunt veteres; cum alii poetam ad τὴν Παιωνικὴν θυσίαν reſpicere, ἣν ἐν τῇ Πριηνέων χώρᾳ συντελοῦσιν Ἴωνες τῷ Ἑλικωνίῳ Ποσειδῶνι· et igitur νεώτερον εἶναι Ἰωνικῆς ἀποικίας arbitrati ſunt; alii contra hæc omnia ad ipſam Helicen Achaicam retulerunt. Cæterum et de ipſa voce Ἑλικωνίῳ ab Hom. pariter et Herod. uſurpata varie diſputatum eſt. Fuerunt enim quibus viſa eſt ad Heliconem Bœotiæ montem pertinere; quos recte redarguit Euſtathius ad Hom. loc. cit. οἱ γὰρ Αἰολεῖς, inquit, οὐκ πρωτοτύπου πληθυντικῆς γενικῆς ποιοῦσι τύπους

ζέφυρον ἄνεμον καλήκοσα Σάμῳ· ἐς τὴν συλλεγόμενοι ἀπὸ τῶν πολίων Ἴωνες, ἄγεσκον ὁρτὴν, τῇ ἔθεντο οὔνομα Πανιώνια· πεπόνθασι δὲ οὔτι μοῦναι αἱ Ἰώνων ὁρταὶ τοῦτο, ἀλλὰ καὶ Ἑλλήνων πάντων ὁμοίως πᾶσαι ἐς τωὐτὸ γράμμα τελευτῶσαι, καλάπερ τῶν Περσέων τὰ οὐνόματα.

Æolicæ urbes.

XXXV. Αὗται μὲν αἱ Ἰάδες πόλιές εἰσι· [b] αἵδε δὲ 149

κλητικὴν· οἷον, ἕτεροι ἑτέρων, ἑτερώνιος· ἄλλων, ἀλλώνιος· ἑτύμων, ἑτυμώνιος· ἀνέμων, ἀνεμώνιος, καὶ δι' εὐφωνίαν, ἀνεμώλιος· ὕτω καὶ Ἑλίκαι Ἑλικῶν, ὄνομα τόπου, Ἑλικώνιος· ἵνα ᾖ Ἑλικώνιος, ὁ ἐν Ἑλίκαις τῆς Ἀχαίας τιμώμενος.

[b] Æolenſes appellati ſunt πάλαι (inquit Strab. viii. 333.) οἱ ἐκτὸς ἰσθμοῦ, πλὴν Ἀθηναίων καὶ Μεγαρέων, καὶ τῶν περὶ τὸ Παρνασὸν Δωριέων. Quæ vero dicitur Æolica in Aſiam migratio καθ' ὅλην ἐσκεδάσθη (Strab. xiii. 582.) ἀπὸ τῆς Κυζικηνῆς μέχρι τοῦ Καΐκου, (omnem ſc. regionem iſtam, quam, ut recte Strabo ibid. 586. apud Homerum Priamus ditioni ſuæ ſubjectam habuit) καὶ ἐπίλαβεν ἔτι πλέον τὴν μεταξὺ τοῦ Καΐκου καὶ τοῦ Ἕρμου ποταμοῦ. Τέτρασι γὰρ δὴ γενεαῖς πρισβυτέραν φασὶ τὴν Αἰολικὴν ἀποικίαν τῆς Ἰωνικῆς· πλατρυβὰς δὲ λαβεῖν καὶ χρόνους μακροτέρους. Ὁρίσην μὲν γὰρ ἄρξαι τοῦ γόλου· τούτου δ' ἐν Ἀρκαδίᾳ τελευτήσαντος τὸν βίον, πλαδέξασθαι τὸν υἱὸν αὐτοῦ Πένθιλον, καὶ προελθεῖν μέχρι Θράκης, ἐξήκοντα ἔτεσι τῶν Τρωϊκῶν ὕστερον, ὑπ' αὐτὴν τὴν τῶν Ἡρακλειδῶν εἰς Πελοπόννησον κάθοδον· εἶτ' Ἀρχέλαον (l. Ἐχελάτον) υἱὸν ἐκείνου περαιώσαι τὸν Αἰολικὸν γόλον, εἰς τὴν νῦν Κυζικηνὴν τὴν περὶ τὸ Δασκύλειον. Γραῦν (l. Γρᾶν) δὲ τὸν υἱὸν τούτου τὸν νεώτατον προελθόντα μέχρι τοῦ Γρανίκου ποταμοῦ, καὶ παρεσκευασμένον ἄμεινον περαιῶσαι τὸ πλέον τῆς στρατιᾶς εἰς Λέσβον, καὶ καλαχεῖν αὐτήν. Κλεύην δὲ τὸν Δώρου, καὶ Μαλάου, καὶ αὐτοὺς ἀπογόνους ὄντας Ἀγαμέμνονος, συναγαγεῖν μὲν τὴν στρατιὰν καὶ τὸν αὐτὸν χρόνον καθ' ὃν καὶ Πένθιλος· ἀλλὰ τὸν μὲν τοῦ Πενθίλου γόλον φθῆναι περαιωθέντα ἐκ τῆς Θράκης εἰς τὴν Ἀσίαν· τούτους δὲ περὶ τὴν Λοκρίδα, καὶ τὸ Φρίκιον ὄρος διατρίψαι πολὺν χρόνον· ὕστερον δὲ διαβάντας κτίσαι τὴν Κύμην, τὴν Φρικωνίδα κληθεῖσαν ἀπὸ τοῦ Λοκρικοῦ ὄρους. Eadem fere Pauſan. iii. 2. niſi quod Leſbum non a Graë, ſed a Penthilo conditam fuiſſe memorat. Pergit deinde Strabo; Τῶν Αἰολέων τοίνυν καθ' ὅλην σκεδασθέντων τὴν χώραν, ἣν ἔφαμεν ὑπὸ τοῦ ποιητοῦ λέγεσθαι Τρωϊκὴν, οἱ δ' ὕστερον, οἱ μὲν, πᾶσαν Αἰολίδα προσαγορεύουσιν, οἱ δὲ, μέρος· καὶ Τροίαν, οἱ μὲν ὅλην, οἱ δὲ μέρος αὐτῆς, οὐδὲν ὅλως ἀλλήλοις ὁμολογοῦντες. Cæterum

αἱ Αἰολίδες, Κύμη, ἡ Φρικωνὶς καλεομένη, Λήρισσαι, Νέον[c] τεῖχος, Τῆμνος, Κίλλα, Νότιον, Αἰγιρόεσσα, Πιτάνη, Αἰγαῖαι, Μύρινα, Γρύνεια· αὗται ἕνδεκα Αἰολέων πόλιες αἱ ἀρχαῖαι· μία γάρ σφεων παρελύθη ὑπὸ Ἰώνων, Σμύρνη· ἦσαν γὰρ καὶ αὗται δυώδεκα αἱ ἐν τῇ ἠπείρῳ· οὗτοι δὲ οἱ Αἰολέες χώρην μὲν ἔτυχον κτίσαντες ἀμείνω Ἰώνων,
150 ὡρέων δὲ ἥκουσαν οὐκ ὁμοίως. Σμύρνην δὲ ὧδε ἀπέβαλον Αἰολέες· Κολοφωνίους ἄνδρας στάσει ἑσσωθέντας, καὶ ἐκπεσόντας ἐκ τῆς πατρίδος, ὑπεδέξαντο· μετὰ δὲ, οἱ φυγάδες τῶν Κολοφωνίων φυλάξαντες τοὺς Σμυρναίους ὁρτὴν ἔξω τείχεος ποιευμένους Διονύσῳ, τὰς πύλας ἀποκληΐσαντες, ἔσχον τὴν πόλιν· βοηθησάντων δὲ πάντων Αἰολέων, ὁμολογίῃ ἐχρήσαντο, τὰ ἔπιπλα ἀποδόντων τῶν Ἰώνων, ἐκλιπεῖν Σμύρνην Αἰολέας· ποιησάντων δὲ ταῦτα Σμυρναίων, ἐπιδιείλοντό σφεας αἱ ἕνδεκα πόλιες, καὶ ἐποι-
151 ήσαντο σφέων αὐτέων πολιήτας. Αὗται μέν νυν αἱ ἠπειρώτιδες Αἰολίδες πόλιες, ἔξω τῶν ἐν τῇ Ἴδῃ οἰκη-

Smyrna illis exemta.

mos invaluit, ut ea potiſſimum Æolis diceretur regio quæ inter Myſiam et Ioniam ſita eſt; ſicut et ipſe Herod. infr. 151. τὰς ἠπειρώτιδας Αἰολίδας πόλιας dinumeravit, ἔξω τῶν ἐν τῇ Ἴδῃ οἰκημένων, κεχωρίδαται γὰρ αὗται. Ita Strab. xiii. 586. τὴν Αἰολίδα νῦν ἰδίως λεγομένην, τὴν ἀπὸ τοῦ Ἕρμου μέχρι Λέκτου. Et Pauſan. iii. 2. τὴν τῆς Ἰωνίας μεταξὺ καὶ Μυσῶν, καλουμένην δὲ Αἰολίδα ἐφ' ἡμῶν.

[c] Φασὶ γὰρ τοὺς ἐκ τοῦ Φρικίου τοῦ ὑπὲρ Θερμοπυλῶν Λοκρικοῦ ὄρους ὁρμηθέντας, (vid. not. præced.) κατάραι μὲν εἰς τὸν τόπον ὅπου νῦν ἡ Κύμη ἐστί· καταλαβόντας δὲ τοὺς Πελασγοὺς, κεκακωμένους ὑπὸ τοῦ Τρωϊκοῦ πολέμου, κατέχοντας δ' ὅμως ἔτι τὴν Λάρισσαν, διέχουσαν τῆς Κύμης ὅσον ἑβδομήκοντα σταδίους, ἐπιτειχίσαι αὐτοῖς τὸ νῦν ἔτι λεγόμενον Νέον τεῖχος ἀπὸ τριάκοντα σταδίων τῆς Λαρίσσης· ἐλθόντας δὲ κτίσαι τὴν Κύμην, καὶ τοὺς περιγενομένους ἀνθρώπους ἐκεῖσε ἀνοικίσαι· ἀπὸ δὲ τοῦ Λοκρικοῦ ὄρους τήν τε Κύμην Φρικωνίδα καλοῦσιν ὁμοίως δὲ καὶ τὴν Λάρισσαν· ἐρήμη δ' ἐστὶ νῦν. Strab. xiii. 621. Et paulo infra, 622. μεγίστη δέ ἐστι τῶν Αἰολικῶν καὶ ἀρίστη Κύμη, καὶ σχεδὸν μητρόπολις αὕτη τε καὶ ἡ Λέσβος τῶν ἄλλων πόλεων.

μένων· κεχωρίδαται γὰ αὗται· αἱ δὲ τὰς νήσυς ἔχυσαι, πέντε μὲν πόλιες τὴν Λέσβον νέμονται· τὴν γὰρ ἕκτὶω ἐν τῇ Λέσβῳ οἰκεομένην Ἀρίσβαν [d] ἠνδραπόδισαν Μηθυμναῖοι, ἐόντας ὁμαίμυς· ἐν Τενέδῳ δὲ μία οἰκέεται πόλις, καὶ ἐν τῇσι Ἑκατὸν [e] νήσοισι καλεομένῃσι ἄλλη μία. Λεσβίοισι μέν νυν καὶ Τενεδίοισι, κατάπερ Ἰώνων τοῖσι τὰς νήσυς ἔχυσι, ἦν δεινὸν οὐδέν· τῇσι δὲ λοιπῇσι πόλισι ἔασε κοινῇ Ἴωσι ἔπεσθαι, τῇ ἂν ἔτοι ἐξηγέωνται.

Lesbus et Tenedus Æolicæ.

XXXVI. Ὡς δὲ ἀπικέατο ἐς τὴν Σπάρτὶω τῶν 152
Ἰώνων καὶ Αἰολέων οἱ ἄγγελοι, (κατὰ γὰρ δὴ τάχος ἦν ταῦτα πρηστόμενα) εἵλοντο πρὸ πάντων λέγειν τὸν Φωκαέα, τῷ οὔνομα ἦν Πύθερμος· ὁ δὲ, πορφύρεον τε εἷμα πεπαλλόμενος, ὡς ἂν πυθανόμενοι πλεῖστοι συνέλθοιεν Σπαρτιητέων, καὶ καλαστὰς, ἔλεγε πολλὰ, τιμωρέην ἑωυτοῖσι χρήζων· Λακεδαιμόνιοι δὲ ἄκως ἤκυον, ἀλλ' ἀπέδοξέ σφι μὴ τιμωρέειν Ἴωσι. Οἱ μὲν δὴ ἀπαλλάσσοντο· Λακεδαιμόνιοι δὲ ἀπωσάμενοι τῶν Ἰώνων τὺς ἀγγέλυς, ὅμως ἀπέστειλαν πενηκοντέρῳ ἄνδρας, ὡς μὲν ἐμοὶ δοκέει, καλασκόπυς τῶν τε Κύρυ πρηγμάτων, καὶ Ἰωνίης. Ἀπικόμενοι δὲ οὗτοι ἐς Φώκαιαν, ἔπεμπον ἐς Σάρδις σφέων αὐτέων τὸν δοκιμώτατον, τῷ

Ionum Æolenſiumque legati Spartam appellunt.

[d] Ita et Strabo xiii. 590. Ἦν δὲ καὶ ἐν Λέσβῳ πόλις Ἄρισβα, ἧς τὴν χώραν ἔχουσι Μηθυμναῖοι.

[e] Κατὰ δὲ τὸν πορθμὸν τὸν μεταξὺ τῆς Ἀσίας, καὶ τῆς Λέσβου, νησία ἐστὶ περὶ εἴκοσι· ὡς δὲ Τιμοσθένης φησὶ, τετταράκοντα· καλοῦνται δ' Ἑκατόννησοι συνδέτως, ὡς Πελοπόννησος, κατὰ ἔθος τι τοῦ ν γράμματος πλεοναζόντος ἐν τοῖς τοιούτοις, ὡς Μυόννησος, καὶ Προκόννησος λέγεται, καὶ Ἀλόννησος· ὥστε Ἑκατόννησοι εἰσὶν, οἷον Ἀπολλώννησοι· Ἕκατος γὰρ ὁ Ἀπόλλων· παρὰ πᾶσαν γὰρ τὴν παραλίαν ταύτην ὁ Ἀπόλλων ἐκτετίμηται μέχρι Τενέδου, Σμινθεὺς, ἢ Κιλλαῖος καλούμενος, ἢ Γρυνεὺς, ἤ τινα ἄλλην ἐπωνυμίαν ἔχων. Strab. xiii. 618. At cum Herod. consentit Diod. xiii. 77. πολίδα (Conon ſc.) πρὸς τινὶ νήσῳ τῶν Ἑκατὸν καλουμένων.

ὄνομα ἦν Λακρίνης, ἀπερέοντα Κύρῳ Λακεδαιμονίων ῥῆσιν, γῆς τῆς Ἑλλάδος μηδεμίην πόλιν σιναμωρέειν, Lacedæmonii minantur Cyro.
153 ὡς αὐτῶν οὐ περισψομένων. Ταῦτα εἰπόντος τοῦ κήρυκος, λέγεται Κῦρον ἐπείρεσθαι τοὺς παρεόντας οἱ Ἑλλήνων, τίνες εἰόντες ἄνθρωποι Λακεδαιμόνιοι, καὶ κόσοι πλῆθος, ταῦτα ἐωυτῷ προαγορεύσι; πυνθανόμενον δέ μιν εἰπεῖν πρὸς τὸν κήρυκα τὸν Σπαρτιήτην· "Οὐκ "ἔδεισά κω ἄνδρας τοιούτους, τοῖσί ἐστι χῶρος ἐν μέσῃ "τῇ πόλει ἀποδεδεγμένος, ἐς τὸν συλλεγόμενοι, ἀλλή- "λους ὀμνύντες ἐξαπατῶσι· τοῖσι, ἢν ἐγὼ ὑγιαίνω, ὦ τὰ "Ἰώνων πάθεα ἔσαι ἔλλεχα, ἀλλὰ τὰ οἰκήια." Ταῦτα ἐς τοὺς πάντας Ἕλληνας ἀπέρριψε ὁ Κῦρος τὰ ἔπεα, ὅτι ἀγορὰς κεκτημένους, ὠνῇ τε καὶ πρήσει χρεώνται· αὐτοὶ γὰρ οἱ Πέρσαι ἀγορῇσι οὐδὲν ἐώθασι χρῆσθαι, [f] οὐδὲ σφι ἔστι τοπαράπαν ἀγορή. Μετὰ ταῦτα, ἐπιτρέψας τὰς μὲν Σάρδις Ταβάλῳ ἀνδρὶ Πέρσῃ, τὸν δὲ χρυσὸν τόν τε Κροίσου καὶ τὸν τῶν ἄλλων Λυδῶν Πακτύῃ ἀνδρὶ Λυδῷ κομίζειν, ἀπήλαυνε αὐτὸς ἐς Ἀγβάτανα, Κροῖσόν τε ἅμα ἀγόμενος, καὶ τοὺς Ἴωνας ἐν οὐδενὶ λόγῳ ποιησάμενος τὴν πρώτην [g] εἶναι· ἤ τε γὰρ Βαβυλὼν οἱ ἦν ἐμ-

[f] Sc. non in foro rerum venalium ad inſtar Græcorum, aſſiduo verſabantur, et diem fere totum terebant. Immo videntur Perſæ (nobiliores ſaltem) ab iſto quidem foro penitus abſtinuiſſe. Ἀγορᾶς, inquit Strab. (xv. 734.) οὐχ ἁπλοῦν· ὅτε γὰρ πωλοῦσιν ὅτ' ὠνοῦνται. Et Xen. K. Π. i. 2. ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται· ἐντεῦθεν τὰ μὲν ὤνια, καὶ οἱ ἀγοραῖοι, καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπειληλαμέναι εἰς ἄλλον τόπον· ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ.

[g] Καὶ ἐπὶ Ἴωνας ἐν οὐδενὶ λόγῳ ποιησάμενος τὴν πρώτην ἰέναι. Valken. ex conj. Locus ſimillimus eſt iii. 134. ἐς Σκύθας μὲν τὴν πρώτην ἴεσαν·— σὺ δέ μοι ἐπὶ τὴν Ἑλλάδα στρατεύεαι.

πόδιος, καὶ τὸ Βάκτριον ἔθνος, καὶ Σάκας τε καὶ Αἰγύπτιοι, ἐπ' οὓς ἐπεῖχέ τε στρατηλατέων αὐτὸς, ἐπὶ δὲ Ἴωνας ἄλλον πέμπειν στρατηγόν.

Pactyas defciſcit.

XXXVII. Ὡς δὲ ἀπήλασε ὁ Κῦρος ἐκ τῶν Σαρ- 154
δίων, τοὺς Λυδοὺς ἀπέῃσε ὁ Πακτύης ἀπό τε Τμώλου καὶ Κύρου· καταβὰς δὲ ἐπὶ θάλασσαν, ἄτε τὸν χρυσὸν ἔχων πάντα τὸν ἐκ τῶν Σαρδίων, ἐπικούρους τε ἐμισθοῦτο, καὶ τοὺς ὑπιθαλασσίους ἀνθρώπους ἔπειθε σὺν ἑωυτῷ στρατεύεσθαι· ἐλάσας δὲ ὑπὶ τὰς Σάρδις, ἐπολιόρκεε Τάβαλον, ἀπεργμένον ἐν τῇ ἀκροπόλει. Πυθό- 155
μενος δὲ κατ' ὁδὸν ταῦτα ὁ Κῦρος, εἶπε πρὸς Κροῖσον τάδε· "Κροῖσε, τί ἔσαι τὸ τέλος τῶν γινομένων τούτων "ἐμοί; ἀ παύσονται Λυδοὶ, ὡς οἰκασι, πρήγματα "παρέχοντες, ἐὼ αὐτοὶ ἔχοντες· φροντίζω, μὴ ἄριστον "ἢ ἐξανδραποδίσασθαί σφεας· ὁμοίως γάρ μοι νῦν γε "φαίνομαι πεποιηκέναι, ὡς εἴ τις πατέρα [h] ἀποκτεί- "νας, τῶν παίδων αὐτὸς φείσαιτο· ὡς δὲ καὶ ἐγὼ Λυ- "δῶν τὸν μὲν πλέον τι ἢ πατέρα ἐόντα σε λαβὼν "ἄγω, αὐτοῖσι δὲ Λυδοῖσι τὴν πόλιν παρέδωκα, καὶ "ἔπειτα θωυμάζω εἴ μοι ἀπέχῃσι;" Ὁ μὲν δὴ ταῦτα νόεε, ἔλεγε· ὁ δ' ἀμείβετο τοῖσδε, δείσας μὴ ἀνασάτους ποιήσῃ τὰς Σάρδις· "Ὦ βασιλεῦ, τὰ μὲν οἰκότα εἰ- Crœſi conſilium de Lydis.
"ρηκας· σὺ μέντοι μὴ πάντα θυμῷ χρέω, μηδὲ πόλιν ἀρχαίην ἐξαναστήσῃς, ἀναμάρτητον ἐοῦσαν καὶ τῶν "πρότερον, καὶ τῶν νῦν ἐστεώτων· τὰ μὲν γὰρ πρότερον "ἐγώ τε ἔπρηξα, ἐὼ ἐμὴ κεφαλὴ ἀναμάξας [i] φέ-

[h] Stafinus, apud Clem. Alex. Strom. vi. 747. Νήπιος, ὃς πατέρα κλείνων, παῖδας καλαλείπει. Cf. Polyb. xxiv. 8.

[i] Hom. Od. Τ'. 92.—ὃ σῇ κεφαλῇ ἀναμάξεις.

" ρω· τὰ δὲ νῦν παρεόντα, Πακτύης γάρ ἐστι ὁ ἀδικέων,
" [k]τῷ σὺ ἐπέτρεψας Σάρδις, ἔτος δότω τοι δίκην·
" Λυδοῖσι δὲ συγγνώμην ἔχων, τάδε αὐτοῖσι ἐπί-
" ταξον, ὡς μήτε ἀποστέωσι, μήτε δεινοί τοι ἔωσι· [l] ἄπ-
" ειπε μέν σφι πέμψας, ὅπλα ἀρήια μὴ κτῆσθαι·
" κέλευε δὲ σφέας κιθῶνάς τε ὑποδύνειν τοῖσι εἵμασι,
" καὶ κοθόρνους ὑποδεεσθαι· πρόειπε δ' αὐτοῖσι κιθα-
" ρίζειν τε καὶ ψάλλειν, καὶ καπηλεύειν παιδεύειν τοὺς
" παῖδας· καὶ ταχέως σφέας, ὦ βασιλεῦ, γυναῖκας
" ἀντ' ἀνδρῶν ὄψεαι γεγονότας [m], ὥστε ἁδὲν δεινοί τοι
156 " ἔσονται μὴ ἀποστέωσι." Κροῖσος μὲν δὴ ταῦτά τε οἱ
ὑπετίθετο, αἱρετώτερα ταῦτα εὑρίσκων Λυδοῖσι, ἢ ἀν-
δραποδισθέντας πρηθῆναι σφέας· ὑπισχάμενος ὅτι ἢν μὴ
ἀξιόχρεων πρόφασιν προτείνῃ, οὐκ ἀναπείσει μιν με-
ταβαλέσθαι· ἀρρωδέων δὲ μὴ καὶ ὕστερόν κοτε οἱ Λυ-
δοὶ, ἢν τὸ παρεὸν ὑπεκδράμωσι, ἀποστάντες ἀπὸ τῶν
Περσέων ἀπόλωνται. Κῦρος δὲ ἡσθεὶς τῇ ὑποθήκῃ, Mazares
καὶ ὑπεὶς τῆς ὀργῆς, ἔφη οἱ πείθεσθαι· καλέσας δὲ Μα- præfectu
ζάρεα ἄνδρα Μῆδον, ταῦτά οἱ ἐνετείλατο πρεσπέειν Lydiæ.
Λυδοῖσι, τὰ ὁ Κροῖσος ὑπετίθετο· καὶ πρὸς, ἐξανδραπο-
δίσασθαι τὰς ἄλλας πάντας, οἳ μετὰ Λυδῶν ἐπὶ Σάρ-
δις ἐστρατεύσαντο, αὐτὸν δὲ Πακτύην πάντως ζῶντα

[k] Aut omittenda ſunt iſta, τῷ σὺ ἐπέτρεψας Σάρδις, aut inter ἀδικέων et τῷ, τοῦτον vel ἐκεῖνον ſcribendum. Prior ratio magis placet.

[l] Confer Juſtin. i. 7. et Plut. Apophth. 173.

[m] Ἔστι δ' ἐδίπου, οἶμαι, δυνατὸν, μικρὰ καὶ φαῦλα πράττοντας μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, ὥσπερ ἐδὲ καλὰ καὶ λαμπρὰ πράττοντας μικρὸν καὶ ταπεινὸν φρονεῖν· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημ' ἔχειν. Demoſth. περὶ Συνταξ. 173.

ἀγαγεῖν παρ' ἑωυτόν. Ὁ μὲν δὴ ταῦτα ἐκ τῆς ὁδοῦ 157
ἐπελάμψος, ἀπήλαυνε ἐς ἤθεα τὰ Περσέων.

XXXVIII. Πακτύης δὲ πυθόμενος ἀγχοῦ εἶναι στρατὸν, ἐπ' ἑωυτὸν ἰόντα, δείσας ᾤχετο φεύγων ἐς Κύμην. Μαζάρης δὲ ὁ Μῆδος ἐλάσας ἐπὶ τὰς Σάρδις, τοῦ Κύρου στρατοῦ μοίραν ὁσηνδήκοτε ἔχων, ὡς οὐκ εὗρε ἔτι ἐόντας τοὺς ἀμφὶ Πακτύην ἐν Σάρδισι, πρῶτα μὲν τοὺς Λυδοὺς ἠνάγκασε τὰς Κύρου ἐντολὰς ἐπιτελέειν· ἐκ τούτου δὲ κελευσμοσύνης Λυδοὶ τὴν πᾶσαν δίαιταν τῆς ζόης μετέβαλον. Μαζάρης δὲ μετὰ τοῦτο ἔπεμπε
De Pactya tradendo Cumæi Apollinem consulunt. ἐς τὴν Κύμην ἀγγέλους, ἐκδιδόναι κελεύων Πακτύην· οἱ δὲ Κυμαῖοι ἔστελλον συμβουλῆς περὶ ἐς θεὸν ἀνοῖσαι τὸν ἐν Βραγχίδῃσι· ἦν γὰρ αὐτόθι μαντήιον ἐκ παλαιοῦ ἱδρυμένον, τῷ Ἴωνές τε πάντες καὶ Αἰολέες ἐώθεσαν χρέεσθαι· ὁ δὲ χῶρος οὗτος ἐστὶ τῆς Μιλησίης ὑπὲρ Πανόρμου λιμένος. Πέμψαντες ὦν οἱ Κυμαῖοι ἐς 158
τοὺς Βραγχίδας θεοπρόπους, εἰρώτευν περὶ Πακτύην ὁκοῖόν τι ποιέοντες θεοῖσι μέλλοιεν χαριεῖσθαι· ἐπειρωτῶσι δὲ σφι ταῦτα χρηστήριον ἐγένετο, ἐκδιδόναι Πακτύην Πέρσῃσι· ταῦτα δὲ ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Κυμαῖοι, ὁρμέατο ἐκδιδόναι· ὁρμεωμένοισι δὲ ταύτῃ τὸ 160
Ariſtodicus. πλῆθος, Ἀριστόδικος ὁ Ἡρακλείδεω, ἀνὴρ τῶν ἀστῶν ἐὼν δόκιμος, ἔσχε μὴ ποιῆσαι ταῦτα Κυμαίους, ἀπιστέων τε τῷ χρησμῷ, καὶ δοκέων τοὺς θεοπρόπους οὐ λέγειν ἀληθέως, ἐς ὃ, τοδεύτερον περὶ Πακτύεω ἐπειρησόμενοι, ἥξειν ἄλλοι θεοπρόποι, τῶν κῆ Ἀριστόδικος ἐὼν. Ἀπικο- 159
μένων δὲ ἐς Βραγχίδας, ἐχρηστηριάζετο ἐκ πάντων Ἀριστόδικος, ἐπειρωτέων τάδε· "Ὦναξ, ἦλθε παρ' ἡμέ-
" ας ἱκέτης Πακτύης ὁ Λυδὸς, φεύγων θάνατον βίαιον

" πρὸς Περσέων· οἱ δὲ μιν ἐξαιτέονται, προεῖναι κελεύ-
" οντες Κυμαίους· ἡμεῖς δὲ δειμαίνοντες τὴν Περσέων
" δυνάμιν, τὸν ἱκέτεα ἐς τόδε οὐ τετολμήκαμεν ἐκδι-
" δόναι, πρὶν ἂν τὸ ἀπὸ σεῦ ἡμῖν δηλωθῇ [n] ἀτρεκέως
" ὁκότερα ποιέωμεν." Ὁ μὲν ταῦτα ἐπειρώτα· ὁ δ' αὖ-
τις τὸν αὐτὸν σφι χρησμὸν ἔφαινε, κελεύων ἐκδιδόναι
Πακτύην Πέρσῃσι· μετὰ ταῦτα ὁ Ἀριστόδικος ἐκ προ-
νοίης ἐποίεε τάδε· περιιὼν τὸν νηὸν κύκλῳ, ἐξαίρεε τοὺς
στρουθοὺς, καὶ ἄλλα ὅσα ἦν νενοσσευμένα ὀρνίθων γένεα ἐν
τῷ νηῷ· ποιέοντος δὲ αὐτοῦ ταῦτα, λέγεται φωνὴν ἐκ
τοῦ ἀδύτου γενέσθαι, φέρουσαν μὲν πρὸς τὸν Ἀριστόδικον,
λέγουσαν δὲ τάδε· " Ἀνοσιώτατε ἀνθρώπων, τί τάδε
" τολμᾷς ποιέειν; τοὺς ἱκέτας μου ἐκ τοῦ νηοῦ κεραΐ-
" ζεις;" Ἀριστόδικον δὲ οὐκ ἀποκρήσαντα πρὸς ταῦτα εἰ-
πεῖν· " Ὦναξ, αὐτὸς μὲν οὕτω [o] τοῖσι ἱκέτῃσι βοηθέεις,
" Κυμαίους δὲ κελεύεις τὸν ἱκέτην ἐκδιδόναι;" Τὸν δὲ
αὖτις ἀμείψασθαι τοῖσδε· " Ναὶ κελεύω, ἵνα γε ἀσε-
" βήσαντες, θᾶσσον ἀπόληθε, ὡς μὴ τολοιπὸν μηδὲ
160 " ἱκετέων ἐκδόσιος ἔλθητε ἐπὶ τὸ χρηστήριον." Ταῦτα
ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Κυμαῖοι, οὐ βουλόμενοι οὔτε
ἐκδόντες ἀπολέσθαι, οὔτε παρ' ἑωυτοῖσι ἔχοντες πολιορ-
κέεσθαι, ἐς Μυτιλήνην αὐτὸν ἐκπέμπουσι· οἱ δὲ Μυτιλη-
ναῖοι, ἐπιπέμποντος τοῦ Μαζάρεος ἀγγελίας ἐκδιδόναι
τὸν Πακτύην, παρεσκευάζοντο ἐπὶ μισθῷ ὁσῳδήν· οὐ γὰρ
ἔχω τοῦτό γε εἰπεῖν ἀτρεκέως· οὐ γὰρ ἐτελεώθη· Κυ-
μαῖοι γὰρ, ὡς ἔμαθον ταῦτα πρηγόμενα ἐκ τῶν Μυ-
τιληναίων, πέμψαντες πλοῖον ἐς Λέσβον, ἐκκομίζουσι

[n] Hom. Od. Γ'. 154.—ἰμεῖο δὲ σύνθεο μῦθον, Ἀτρεκέως γάρ σοι μαντεύσομαι, οὐδ' ἐπικεύσω.

[o] Τεοῖσι· ex conj. Reiskius.

Πακτύην ἐς Χῖον· ἐνθεῦτεν δὲ ἐξ ἱρῆς Ἀθηναίης Πελιάδος ἀπαναθεὶς, ὑπὸ Χίων ἐξεδόθη· ἐξέδοσαν δὲ οἱ Χῖοι ὑπὶ τῷ Ἀταρνεῖ μισθῷ· τοῦ δὲ Ἀταρνέως τούτου ἔστι χῶρος τῆς Μυσίης, Λέσβου ἀντίος. Πακτύην μέν νυν ἀναδεξάμενοι οἱ Πέρσαι εἶχον ἐν φυλακῇ θέλοντες Κύρῳ ἀποδέξαι· ἦν δὲ χρόνος ἔτος οὐκ ὀλίγος γενόμενος, ὅτε Χίων ἀδεὶς ἐκ τοῦ Ἀταρνέως τούτου, ὅτε [P] ἀλὰς κριθῶν προχύσιν ἐπιέετο θεῶν οὐδενὶ, ὅτε πέμματα ἐπέασετο καρπῷ τῷ ἐνθεῦτεν, ἀπείχετό τε τῶν πάντων ἱρῶν τὰ πάντα ἐκ τῆς χώρης ταύτης γινόμενα. Χῖοι μέν νυν Πακτύην ἐξέδοσαν. Μαζάρης δὲ μετὰ 161
ταῦτα ἐστρατεύετο ὑπὶ τοὺς συμπολιορκήσαντας Τάβαλον· καὶ τοῦτο μὲν, Πριηνέας ἐξηνδραπόδισατο· τοῦτο δὲ, Μαιάνδρου πεδίον πᾶν ἐπέδραμε, λείην ποιεύμενος τῷ στρατῷ· Μαγνησίην δὲ ὡσαύτως· μετὰ δὲ ταῦτα, αὐτίκα νόσῳ τελευτᾷ. Ἀποθανόντος δὲ τούτου, Ἅρπαγος 162
καλέεται δεύτερος τῆς στρατηγίης, γένος καὶ αὐτὸς ἐὼν Μῆδος, τὸν ὁ Μήδων βασιλεὺς Ἀστυάγης ἀνόμῳ τραπέζῃ ἔδαισε, ὁ τῷ Κύρῳ τὴν βασιληίην συγκαταεργασάμενος· ἔτος ὦν ἦν τότε ὑπὸ Κύρου στρατηγὸς ἀποδεχθεὶς, ὡς ἀπίκετο ἐς τὴν Ἰωνίην, αἱρέει τὰς πόλιας χώμασι· ὅκως γὰρ τειχήρεας ποιήσειε, τὸ ἐνθεῦτεν χώματα χῶν πρὸς τὰ τείχεα ἐπόρθεε· πρώτη δὲ Φωκαίη Ἰωνίης ἐπεχείρησε.

XXXIX. Οἱ δὲ Φωκαιέες ἔτοι ναυτιλίῃσι μακρῇσι 163
πρῶτοι Ἑλλήνων ἐχρήσαντο, καὶ τόν τε Ἀδρίην καὶ τὴν Τυρσηνίην καὶ τὴν Ἰβηρίην καὶ τὸν [Q] Ταρτησσὸν ἔτοί εἰσι

Pactyas a Chiis deditus.

Mazari mortuo succedit Harpagus.

Phocæenſium navigationes.

[P] Οὐλοχύτας· Hom. Il. A'. 449. προχύτας· Eur. Iph. in Aul. 955.

[Q] Ἐοίκασι δ' οἱ παλαιοὶ καλεῖν τὸν Βαῖτιν, Ταρτησσόν·—δυοῖν δὲ

οἱ καταδέξαντες· ἐναυτίλλοντο δὲ οὐ στρογγύλῃσι νηυσὶ, ἀλλὰ πεντηκοντέροισι· ἀπικόμενοι δὲ ἐς τὸν Ταρτησσὸν, προσφιλέες ἐγένοντο τῷ βασιλέϊ τῶν Ταρτησσίων, τῷ οὔνομα μὲν ἦν Ἀργανθώνιος· ἐτυράννευσε δὲ Ταρτησσοῦ ὀγδώκοντα ἔτεα, ἐβίωσε δὲ πάντα εἴκοσι καὶ [r] ἑκατόν· τούτῳ δὴ τῷ ἀνδρὶ προσφιλέες οἱ Φωκαιέες οὕτω δή τι ἐγένοντο, ὡς τὰ μὲν πρῶτα σφέας ἐκλιπόντας Ἰωνίην, ἐκέλευε τῆς ἑωϋτοῦ χώρης οἰκῆσαι ὅκου βούλονται· μετὰ δὲ, ὡς τοῦτο οὐκ ἔπειθε τοὺς Φωκαιέας, ὁ δὲ πυθόμενος τὸν [s] Μῆδον παρ' αὐτῶν ὡς αὔξοιτο, ἐδίδου σφι χρήματα τεῖχος περιβαλέσθαι τὴν πόλιν· ἐδίδου δὲ ἀφειδέως· καὶ γὰρ καὶ ἡ περίοδος τοῦ τείχεος οὐκ ὀλίγοι στάδιοι εἰσί· τοῦτο δὲ πᾶν, λίθων μεγάλων, καὶ εὖ συν-
164 αρμοσμένων. Τὸ μὲν δὴ τεῖχος τοῖσι Φωκαιεῦσι τρόπῳ τοιῷδε ἐξεποιήθη· ὁ δὲ Ἅρπαγος ὡς ἐπήλασε τὴν στρατιὴν, ἐπολιόρκεε αὐτοὺς, προϊσχόμενος ἔπεα, ὥς οἱ καταχρᾷ, εἰ βούλονται Φωκαιέες προμαχεῶνα ἕνα μοῦνον τοῦ τείχεος ἐρεῖψαι, καὶ οἴκημα ἓν [t] κατιρῶσαι· οἱ δὲ Φωκαιέες, περιημεκτέοντες τῇ δουλοσύνῃ, ἔφασαν θέλειν

Arganthonius Tartessius.

οὐσῶν ἐκβολῶν τοῦ ποταμοῦ, πόλιν ἐν τῷ μεταξὺ χώρῳ κατοικεῖσθαι· —ἣν καλεῖσθαι Ταρτησσὸν, ὁμώνυμον τῷ ποταμῷ. Strab. iii. 148.

[r] Cf. Plin. N. H. vii. 48. Cic. de Senect. 19. et Strab. iii. 151. ubi etiam Anacreontis fragm. legitur: Ἐγὼ τ' ἂν οὐκ Ἀμαλθίης Βουλοίμην κέρας, οὔτ' ἔτη Πεντήκοντά τε καὶ ἑκατὸν Ταρτησσοῦ βασιλεῦσαι.

[s] Τὸν Λυδὸν· ex conj. Wesselingius; recte omnino.

[t] Hæc quidnam sibi velint non satis liquet. Fortasse tamen οἰκήματα recte interpreteris (tanquam in 179. huj.) turriculas certis intervallis in summo muro extructas. Cf. Thucyd. iii. 21. Quod si verum sit, ex Ed. Aldinæ lectione κατειρῶσαι levi opera fingi poterit κατειρῦσαι. Ita sibi omnia constabunt. Jubebat sc. Harpagus ut in speciem aliquam deditionis unum saltem propugnaculum, et unam turriculam demolientur.

βουλεύσασθαι ἡμέρην μίην καὶ ἔπειτα ὑποκρινέεσθαι· ἐν
ᾧ δὲ βουλεύονται αὐτοὶ, ἀπαγαγεῖν ἐκεῖνον ἐκέλευον τὴν
στρατιὴν ἀπὸ τοῦ τείχεος· ὁ δ' Ἅρπαγος ἔφη εἰδέναι μὲν
εὖ τὰ ἐκεῖνοι μέλλοιεν ποιέειν, ὅμως δὲ σφι παριέναι
βουλεύσασθαι· ἐν ᾧ ὧν ὁ Ἅρπαγος ἀπὸ τοῦ τείχεος
ἀπήγαγε τὴν στρατιὴν, οἱ Φωκαιέες ἐν τούτῳ κατασπά-
σαντες τὰς πεντηκοντέρους, ἐσθέμενοι τέκνα καὶ γυναῖ- 166
κας καὶ ἔπιπλα πάντα, πρὸς δὲ καὶ τὰ ἀγάλματα
τὰ ἐκ τῶν ἱρῶν, καὶ τὰ ἄλλα ἀναθήματα, [a] χωρὶς ὅτι
χαλκὸς ἢ λίθος ἢ γραφὴ ἦν, τὰ δὲ ἄλλα πάντα ἐσ-
θέντες, καὶ αὐτοὶ ἐσβάντες, ἔπλεον ἐπὶ Χίου· τὴν δὲ
Φωκαίην ἐρημωθεῖσαν ἀνδρῶν εἶχον οἱ Πέρσαι. Οἱ δὲ 165
Φωκαιέες, ἐπεί τε σφι Χῖοι τὰς νήσους τὰς Οἰνούσσας
καλεομένας οὐκ ἐβούλοντο ὠνεομβρίοισι πωλέειν, δειμαί-
νοντες, μὴ αἱ μὲν ἐμπόριον γένωνται, ἡ δὲ αὐτέων νῆσος
ἀποκληϊσθῇ τούτου εἵνεκα, πρὸς ταῦτα οἱ Φωκαιέες ἐ-
ξέλλοντο ἐς Κύρνον· ἐν γὰρ τῇ Κύρνῳ ἔτεσι εἴκοσι πρό-
τερον τούτων ἐκ θεοπροπίου ἀνεσήσαντο πόλιν τῇ οὔνομα
ἦν [x] Ἀλαλίη. Ἀργανθώνιος δὲ τυραννεύσας ἤδη τετελευ-
τήκεε· στελλόμενοι δὲ ἐπὶ τὴν Κύρνον, πρῶτα κατα-
πλεύσαντες ἐς τὴν Φωκαίην, κατεφόνευσαν τῶν Περ- 167
σέων τὴν φυλακὴν, ἣ ἐφρούρεε παραδεξαμένη παρὰ Ἀρ-
πάγου τὴν πόλιν· μετὰ δὲ, ὡς τοῦτό σφι ἐξεργασο,
ἐπιήσαντο ἰσχυρὰς κατάρας τῷ ὑπολειπομένῳ ἑωυτῶν
τὴν σόλου· πρὸς δὲ ταύτῃσι, καὶ μύδρον σιδήρεον καταπόν-

[a] Scribendum, χωρὶς ἢ ὅ, τι. Valken. Cf. 94. huj. iv. 61, 82.

[x] Diodor. v. 13. τὴν μὲν Κάλαριν Φωκαεῖς ἔκτισαν. Perperam; nam Calaris urbs Sardiniæ est. Scribendum f. Ἀλαρίαν. In cæteris cum Herodoto consentit.

τωσαν· καὶ [y] ὤμοσαν μὴ πρὶν ἐς Φωκαίην ἥξειν, πρὶν ἢ
τὸν μύδρον τοῦτον ἀναφῆναι· σελλομένων δὲ αὐτῶν ἐπὶ
τὴν Κύρνον, ἐνθαῦτα ἡμίσεας τῶν ἀεικῶν ἔλαβε πόθος τε
καὶ οἶκτος τῆς πόλιος, καὶ τῶν ἠθέων τῆς χώρης· ψευδόρ-
κιοι δὲ γινόμενοι, ἀπέπλεον ὀπίσω ἐς τὠυτὸ Φωκαίην· οἱ
δὲ αὐτῶν τὸ ὅρκιον ἐφύλασσον, ἀειρθέντες ἐκ τῶν Οἰ-
166 νουσέων ἔπλεον. Ἐπείτε δὲ ἐς τὠυτὸ Κύρνον ἀπίκοντο,
οἴκεον κοινῇ μετὰ τῶν πρότερον ἀπικομένων ἐπ' ἔτεα
πέντε, καὶ ἱρὰ ἐνιδρύσαντο· καὶ ἄγον γὰρ δὴ καὶ ἔφερον
τοὺς θεοίκους ἅπαντας· στρατεύονται ὧν ἐπ' αὐτοὺς
κοινῷ λόγῳ χρησάμενοι Τυρσηνοὶ καὶ [z] Καρχηδόνιοι, νη-
σὶ ἑκάτεροι ἑξήκοντα· οἱ δὲ Φωκαιέες, πληρώσαντες καὶ
αὐτοὶ τὰ πλοῖα, ἐόντα ἀριθμὸν ἑξήκοντα, ἀντίαζον ἐς
τὸ Σαρδόνιον καλεόμενον πέλαγος· συμμισγόντων δὲ
τῇ ναυμαχίῃ, [a] Καδμείη τις νίκη τοῖσι Φωκαιεῦσι ἐγέ-
νετο· αἱ μὲν γὰρ τεσσαράκοντα σφίσι νῆες διεφθάρησαν,
αἱ δὲ εἴκοσι αἱ θοιέουσαι, ἦσαν ἄχρηστοι· ἀπεστράφατο
γὰρ τοὺς ἐμβόλους· καλαπλώσαντες δὲ ἐς τὠυτὸ Ἀλα-
λίην, ἀνέλαβον τὰ τέκνα καὶ τὰς γυναῖκας, καὶ τὴν
ἄλλην κλῆσιν, ὅσην οἵη τε ἐγένοντο αἱ νῆες σφι ἄγειν· καὶ
167 ἔπειτα ἀφέντες τὴν Κύρνον, ἔπλεον ἐς Ῥήγιον. Τῶν δὲ
ἁλοφθαρεισέων νεῶν τοὺς ἄνδρας οἵ τε Καρχηδόνιοι καὶ
οἱ Τυρσηνοί· ἔλαχόν τε αὐτῶν πολλῷ πλείους [b], καὶ τού-
τους ἐξαγαγόντες κατέλευσαν. Μετὰ δὲ [c] Ἀγυλλαίοισι

[y] Cf. Hor. Epod. xvi. 17.

[z] Vid. ad vi. 17.

[a] Οὐ γὰρ ἐτέραν οἱ παλαιοὶ Καδμείαν νίκην, ἀλλὰ τὴν περὶ Θήβας τῶν ἀδελφῶν, (Eteoclis sc. et Polynicis) ὡς αἰσχίστην καὶ κακίστην προσηγόρευσαν. Plut. περὶ φιλαδελφίας. 488. Cf. et Strab. iii. 150.

[b] Legendum eſt fortaſſe, οἵ τε Καρχηδόνιοι καὶ οἱ Τυρσηνοὶ, ἔλαχον δὲ αὐτῶν πολλῷ πλείους, τούτους ἐξαγαγόντες κατέλευσαν.

[c] Cærites Romanis: Ἀ-

πάντα τὰ παριόντα τὸν χῶρον, ἐν τῷ οἱ Φωκαιέες καταλευσθέντες ἐκέατο, ἐγίνετο διάστροφα καὶ ἔμπηρα καὶ ἀπόπληκτα, ὁμοίως πρόβατα καὶ ὑποζύγια καὶ ἄνθρωποι. Οἱ δὲ Ἀγυλλαῖοι ἐς Δελφοὺς ἔπεμπον, βουλόμενοι ἀκέσασθαι τὴν ἁμαρτάδα· ἡ δὲ Πυθίη σφέας ἐκέλευσε ποιέειν τὰ καὶ νῦν οἱ Ἀγυλλαῖοι ἔτι ἐπιτελέουσι· καὶ γὰρ ἐναγίζουσί σφι μεγάλως, καὶ ἀγῶνα γυμνικὸν καὶ ἱππικὸν ἐπιστᾶσι. Καὶ οὗτοι μὲν τῶν Φωκαιέων τοιούτῳ μόρῳ διεχρήσαντο· οἱ δὲ αὐτῶν ἐς τὸ Ῥήγιον καταφυγόντες, ἐνθεῦτεν ὁρμεώμενοι, ἐκτήσαντο πόλιν γῆς τῆς Οἰνωτρίης ταύτην, ἥτις νῦν [d] Ὑέλη καλέ-

γυλλα γὰρ ἐλογίζετο τὸ πρότερον ἡ νῦν Καῖρε. Strab. v. 220. Agyllenses autem solos hic nominat Herodotus tanquam eo tempore Etruscorum principes; recte ut videtur. Λαμπρὰ καὶ ἐπιφανὴς πόλις a Strabone l. c. dicta est, et quæ καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκίμησε, διά τε ἀνδρίαν καὶ δικαιοσύνην· τῶν γὰρ ληστηρίων ἀπέσχετο, καίπερ δυναμένη πλεῖστον. Similiter Dionys. Hal. A. R. iii. 58. ἣ πρότερον μὲν Ἄγυλλα ἐκαλεῖτο, Πελασγῶν αὐτὴν κατοικούντων, ὑπὸ δὲ Τυῤῥηνοῖς γενομένη Καίρηλα μετωνομάσθη· εὐδαίμων δ' ἦν, εἰ καί τις ἄλλη τῶν ἐν Τυῤῥηνίᾳ πόλεων, καὶ πολυάνθρωπος.

[d] Velia Romanis; urbs Lucaniæ ad fl. Haletem, ut Cicero, Epist. ad Div. vii. 20. Eleëtem ut Strabo, vi. 252. in omnibus fere cum Herodoto consentiens. Urbem τῆς Οἰνωτρίης dixit Herod. vere, ut solet, et accurate. Constat proculdubio Œnotrios Pelasgos, ubi primum in Italiam appulerunt, eam tantum oram tenuisse τὴν μεταξὺ δυοῖν κόλπων, τοῦ τε Ἱππωνιάτου (aliis Terinæus, aliis Lameticus sinus dicitur) καὶ τοῦ Σκυλλητικοῦ. At postea tamen, Ausonibus ejectis, fines suos protulerunt, primum versus Laum fluvium et Metapontum urbem, mox etiam ad Silarum usque et Bradanum fluvios, totam nimirum regionem istam, quæ postea Bruttiorum erat et Lucanorum, complexi. Cf. Antiochum Syracusanum apud Strab. vi. 255. et Dionys. Hal. A. R. i. 12. et 35. et ii. 1. Huc porro facit quod apud Strabonem legitur, vi. 252. πρὸ δὲ τῆς Ἐλεάτιδος αἱ Οἰνωτρίδες νῆσοι δύο· et apud Plin. H. N. iii. 7. *contra Veliam, Pontia et Iscia, utræque uno nomine Œnotrides, argumentum possessæ ab Œnotriis Italiæ.* Immo potius hujus regionis. Vide autem Heynii Excurs. xxi. ad Æneidos Lib. i.

εται· ἔκτισαν δὲ ταύτην, πρὸς ἀνδρὸς Ποσειδωνιήτεω
μαθόντες, ὡς τὸν Κύρνον σφι ἡ Πυθίη ἔχρησε κτίσαι,
ἥρων ἐόντα, ἀλλ' οὐ τὴν νῆσον. Φωκαίης μέν νυν πέρι τῆς
168 ἐν Ἰωνίῃ οὕτω ἔσχε. Παραπλήσια δὲ τούτοισι καὶ Τήϊοι
ἐποίησαν· ἐπεί τε γάρ σφεων εἷλε χώματι τὸ τεῖχος
Ἅρπαγος, ἐσβάντες πάντες ἐς τὰ πλοῖα, οἴχοντο πλέ-
οντες ἐπὶ τῆς Θρηϊκίης, καὶ ἐνθαῦτα ἔκτισαν πόλιν Ἄβ- Abdera a Teiis condita.
δηρα· τὴν πρότερος τούτων Κλαζομένιος Τιμήσιος [e] κτί-
σας, οὐκ ἀπώνητο, ἀλλ' ὑπὸ Θρηΐκων ἐξελαθεὶς, τιμὰς
νῦν ὑπὸ Τηΐων τῶν ἐν Ἀβδήροισι ὡς ἥρως ἔχει.

169 XL. Οὗτοι μέν νυν Ἰώνων μοῦνοι τὴν δουλοσύνην οὐκ
ἀνεχόμενοι, ἐξέλιπον τὰς πατρίδας· οἱ δ' ἄλλοι Ἴωνες,
πλὴν Μιλησίων, διὰ μάχης μὲν ἀπικέατο Ἁρπάγῳ,
κατάπερ οἱ ἐκλιπόντες· καὶ ἄνδρες ἐγένοντο ἀγαθοὶ,
περὶ τῆς ἑωϋτοῦ ἕκαστος, μαχόμενοι· ἑσσωθέντες δὲ καὶ
ἁλόντες, ἔμενον κατὰ χώρην ἕκαστοι, καὶ τὰ ἐπιτασσό-
μενα ἐπετέλεον. Μιλήσιοι δὲ, ὡς καὶ πρότερόν μοι εἴ-
ρηται, αὐτῷ Κύρῳ ὅρκιον ποιησάμενοι, ἡσυχίην ἄγον.
Οὕτω δὴ τὸ δεύτερον Ἰωνίη ἐδεδούλωτο· ὡς δὲ τοὺς ἐν τῇ Ionia subacta.
ἠπείρῳ Ἴωνας ἐχειρώσατο Ἅρπαγος, οἱ τὰς νήσους ἔχον-
τες Ἴωνες, καταῤῥωδήσαντες ταῦτα, σφέας αὐτοὺς ἔδο-
170 σαν Κύρῳ. Κεκακωμένων δὲ Ἰώνων, καὶ συλλεγομένων
οὐδὲν ἧσσον ἐς τὸ Πανιώνιον, πυνθάνομαι γνώμην Βί-
αντα ἄνδρα Πριηνέα ἀποδέξασθαι Ἴωσι χρησιμωτάτην,
τῇ εἰ ἐπείθοντο, παρεῖχε ἄν σφι εὐδαιμονέειν Ἑλλήνων
μάλιστα· ὃς ἐκέλευε κοινῷ στόλῳ Ἴωνας ἀερθέντας Consilia Biantis et Thaletis.
πλέειν ἐς Σαρδὼ, καὶ ἔπειτα πόλιν μίαν κτίζειν πάντων

[e] De Temesia vid. Ælian. V. H. xii. 9. Plutarch. Πολιτ. παραγγέλ. 812. et περὶ πολυφιλ. 96.

Ἰώνων· ἐς οὕτω ἀπαλλαχθέντας σφέας δουλοσύνης, εὐδαιμονήσειν, νήσων τε ἁπασέων μεγίστην νεμομένους, καὶ ἄρχοντας ἄλλων· μένουσι δέ σφι ἐν τῇ Ἰωνίῃ οὐκ ἔφη ἐνορᾶν ἐλευθερίην ἔτι ἐσομένην. Αὕτη μὲν Βίαντος τοῦ Πριηνέος γνώμη ἐπὶ διεφθαρμένοισι Ἴωσι γενομένη· χρηστὴ δὲ, καὶ πρὶν ἢ διαφθαρῆναι Ἰωνίην, Θάλεω ἀνδρὸς Μιλησίου ἐγένετο, τὸ ἀνέκαθεν γένος ἐόντος Φοίνικος, ὃς ἐκέλευε ἓν βουλευτήριον Ἴωνας ἐκτῆσθαι· τὸ δὲ εἶναι ἐν Τέῳ· Τέων γὰρ μέσον εἶναι Ἰωνίης· τὰς δὲ ἄλλας πόλιας οἰκεομένας, μηδὲν ἧσσον νομίζεσθαι, κατάπερ εἰ δῆμοι εἶεν. Οὕτω μὲν δή σφι γνώμας τοιάσδε ἀπεδέξαντο.

XLI. Ἅρπαγος δὲ καταστρεψάμενος Ἰωνίην, ἐποιέετο 171
στρατηΐην ἐπὶ Κᾶρας καὶ Καυνίους καὶ Λυκίους, ἅμα ἀγόμενος ἐς Ἴωνας καὶ Αἰολέας. [f] Εἰσὶ δὲ τούτων Κᾶρες μὲν
Cares.
ἀπιγμένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων· τὸ γὰρ παλαιὸν ἐόντες [g] Μίνω τε κατήκοοι, καὶ καλεόμενοι Λέλεγες, εἶχον τὰς νήσους, φόρον μὲν οὐδένα ὑποτελέοντες, ὅσον ἐς ἐγὼ δυνατός εἰμι μακρότατον ἐξικέσθαι ἀκοῇ· οἱ δὲ, ὅκως Μίνως δέοιτο, ἐπλήρουν οἱ τὰς νέας· ἅτε δὴ Μίνω κατεστραμμένου γῆν πολλὴν, καὶ εὐτυχέοντος τῷ πολέμῳ, τὸ Καρικὸν ἦν ἔθνος λογιμώτατον τῶν ἐθνέων

[f] Ea eſt Carum et Lelegum hiſtoria, ex qua nemo adhuc ſatis feliciter ſeſe expedire potuit, ne ipſe quidem Strabo, qui, cæteris ſcriptoribus diligenter inter ſe collatis, videtur tamen omnes Herodoto poſthabuiſſe. Liceat igitur et nobis hæc omnia pro veris habere, e quibus paucula tantum breviter illuſtranda ſint. Cf. autem Strab. vii. 321. et xiv. 661.

[g] Minoëm intelligas non Jovis ex Europa f. ſed illum alterum Idomenei Homerici avum; de quo Thucyd. i. 4, et 8. Strabo x. 476. Ariſtot. Polit. ii. 10. Diodor. iv. 60. et ipſe Herod. vii. 170, 171.

ἁπάντων κατὰ τοῦτον ἅμα τὸν χρόνον μακρῷ μάλιστα. [h] Καὶ σφι τριξὰ ἐξευρήματα ἐγένετο, τοῖσι οἱ Ἕλληνες ἐχρήσαντο· καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφους ὑπιδέεσθαι Κᾶρές εἰσι οἱ καταδέξαντες, καὶ ἐπὶ τὰς ἀσπίδας τὰ σημήια ποιέεσθαι· καὶ ὄχανα ἀσπίσι ἔτοί εἰσι οἱ ποιησάμενοι πρῶτοι· τέως δὲ ἄνευ ὀχάνων ἐφόρεον τὰς ἀσπίδας πάντες οἵπερ ἐώθεισαν ἀσπίσι χρέεσθαι, τελαμῶσι σκυτίνοισι οἰηκίζοντες ἐπὶ τῖσι αὐχέσι τε καὶ τῖσι ἀριστεροῖσι ὤμοισι ἐπεικείμενοι. Μετὰ δὲ, τοὺς Κᾶρας χρόνῳ ὕστερον πολλῷ Δωριέες τε καὶ Ἴωνες ἐξανέστησαν ἐκ τῶν νήσων, καὶ ἔτω ἐς τὴν ἤπειρον [i] ἀπίκοντο· κατὰ μὲν δὴ Κᾶρας ἔτω Κρῆτες λέγουσι γενέσθαι· οὐ μέντοι αὐτοί γε ὁμολογέουσι τούτοισι οἱ Κᾶρες, ἀλλὰ νομίζουσι αὐτοὶ ἐωυτοὺς εἶναι αὐτόχθονας ἠπειρώτας, ἐπ τῷ ὀνόματι τῷ αὐτῷ ἀεὶ Μαχρεωμένους τῷπερ νῦν· ἀποδεικνῦσι δὲ ἐν Μυλάσοισι Διὸς Καρίου ἱρὸν ἐρ- Jupiter Carius.
χαῖον, τοῦ Μυσοῖσι μὲν καὶ Λυδοῖσι μέτεσι, ὡς κασι-

[h] Τοῦ δὲ περὶ τὰ στρατιωτικὰ ζήλου τά τε ὄχανα ποιεῦνται τεκμήρια, καὶ τὰ ἐπίσημα, καὶ τοὺς λόφους· ἅπαντα μὲν γὰρ λέγεται Καρικά. Ἀνακρέων μέν γε φησίν· Διὰ δεῦτε Καρικοεργέος ὀχάνοιο Χεῖρα τιθέμεναι. Ὁ δ' Ἀλκαῖος· Λόφον τε σείων Καρικόν. Strabo. xiv. 661.

[i] Hanc narrationem, cui potiſſimum favere Herodotus videtur, Strabo quoque (xiv. 661.) tanquam ab omnibus maxime receptam probat. At fortaſſe veriora ſunt quæ ipſi Cares de ſe rebuſque ſuis profitebantur, (vid. infra) fuiſſe ſe indigenas continentis, nam Caras certe Hom. Il. Β'. 868. ad Miletum poſuit, Μαιάνδρου τε ῥοὰς, Μυκάλης τ' αἰπεινὰ κάρηνα. Lelegas vero (Φ'. 87.) ad fluvium Satnioënta, et urbem Pedaſum, ſinus ſc. Adramytteni accolas: ſicut Alcæus quoque (Strab. xiii. 606.) τὴν Ἀντανδρον καλεῖ Λελίγων πόλιν. Quod itaque dixit Thucydides Caras a Minoë, Herodotus a Dorienſibus et Ionibus, ex inſulis ejectos fuiſſe, cenſenda ſunt ad aliquam tantum gentis iſtius partem pertinere.

γνήτοισι ἐοῦσι τοῖσι [k] Καρσί· τὸν γὰρ Λυδὸν καὶ τὸν Μυσὸν λέγεσθαι εἶναι Καρὸς ἀδελφεοὺς, τούτοισι μὲν δὴ μέτεστι· ὅσοι δὲ ἐόντες ἄλλου ἔθνεος, ὁμόγλωσσοι τοῖσι Καρσὶ ἐγίνοντο, τούτοισι δὲ οὐ μέτα.

Caunii. XLII. Οἱ δὲ Καύνιοι, αὐτόχθονες, δοκέειν ἐμοὶ, εἰσὶ· 172
αὐτοὶ μέντοι ἐκ Κρήτης φασὶ [l] εἶναι· ἀποσκεχωρήκασι δὲ γλῶσσαν μὲν πρὸς τὸ Καρικὸν ἔθνος, ἢ οἱ Κᾶρες πρὸς τὸ Καυνικόν· τοῦτο γὰρ οὐκ ἔχω ἀτρεκέως διακρῖναι· νόμοισι δὲ χρέωνται κεχωρισμένοισι πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ Καρῶν· τοῖσι γὰρ κάλλιστόν ἐστι καὶ ἡλικίῃ τε καὶ φιλότητα εἰλαδὸν συγγίνεσθαι ἐς πόσιν, καὶ ἀνδράσι καὶ γυναιξὶ καὶ παισί· ἱδρυθέντων δὲ σφι ἱρῶν ξεινικῶν, μετέπειτα ὡς σφι ἀπέδοξε, (ἔδοξε δὲ τοῖσι πατρίοισι μοῦνον χρᾶσθαι θεοῖσι) ἐνδύντες τὰ ὅπλα ἅπαντες Καύνιοι ἤλασαν τύπτοντες δούρασι τὸν ἠέρα, μέχρι ὅρων τῶν Καλυνδικῶν ἔσποντο, καὶ ἔφασαν ἐκβάλλειν τοὺς ξεινικοὺς θεούς· καὶ ἔστι μὲν τρόπῳ τοιούτῳ χρέωνται.

Lycii ex Creta. XLIII. Οἱ δὲ Λύκιοι ἐκ Κρήτης τὠρχαῖον γεγόνασι· 173
τὴν γὰρ Κρήτην εἶχον τοπαλαιὸν πᾶσαν βάρβαροι· διενειχθέντων δὲ ἐν Κρήτῃ περὶ τῆς βασιληΐης τῶν Εὐρώπης
Sarpedon et Minos. παίδων, Σαρπηδόνος τε καὶ Μίνω, ὡς ἐπεκράτησε τῇ στάσει Μίνως, ἐξήλασε αὐτόν τε Σαρπηδόνα καὶ τοὺς στασιώτας αὐτοῦ· οἱ δὲ ἀπωσθέντες ἀπίκοντο τῆς Ἀσίης

[k] Ad verbum fere deſcripſit Strabo. xiv. 660.

[l] Huc fortaſſe ſpectant iſta Diodori, v. 60. Quinque nimirum Curetas in Cherſoneſum, quæ Rhodo ex adverſo poſita eſt, tranſiiſſe στόλῳ ἀξιολόγῳ, καὶ τοὺς μὲν κατοικοῦντας αὐτὴν Κάρας ἐκβαλεῖν, αὐτοὺς δὲ κατοικήσαντας τὴν μὲν χώραν εἰς πέντε μέρη διελεῖν.

ἐς γῆν τὴν Μιλυάδα· τὴν γὰρ νῦν Λύκιοι νέμονται, αὐτὴ τοπαλαιὸν ὦ Μιλυάς· οἱ δὲ Μιλύαι, τότε Σόλυμοι Milyæ olim Solymi.
ἐκαλέοντο· τέως μὲν δὴ αὐτέων Σαρπηδὼν ἦρχε· οἱ δὲ ἐκαλέοντο τόπερ τε ἠνείκαντο οὔνομα, καὶ νῦν ἔτι καλέονται ὑπὸ τῶν ωβιοίκων οἱ Λύκιοι, [m] Τερμίλαι· ὡς δὲ Termilæ.
ἐξ Ἀθηνέων Λύκος ὁ Πανδίονος, ἐξελαθεὶς ὑπὸ Lycus Ægei frater.
τοῦ ἀδελφεοῦ Αἰγέως, ἀπίκετο ἐς τοὺς Τερμίλας παρὰ Σαρπηδόνα, οὕτω δὴ κατὰ τὸν Λύκον τὴν ἐπωνυμίην Λύκιοι ἀνὰ χρόνον ἐκλήθησαν· νόμοισι δὲ, τοῖσι μὲν Κρητικοῖσι, τοῖσι δὲ [n] Καρικοῖσι χρέωνται· ἓν δὲ τόδε ἴδιον νενομίκασι, καὶ οὐδαμοῖσι ἄλλοισι συμφέρονται ἀνθρώπων· καλέονται ἀπὸ τῶν μητέρων ἑωυτοὺς, καὶ οὐκὶ ἀπὸ Lyciorum genealogia ex matribus.
τῶν πατέρων· εἰρομένου δὲ ἑτέρου τὸν πλησίον, τίς εἰη, καλαλέξει ἑωυτὸν μητρόθεν, καὶ τῆς μητρὸς ἀναγραμμένας τὰς μητέρας· καὶ ἢν μέν γε γυνὴ ἀστὴ δούλῳ συνοικήσῃ, γυναῖα τὰ τέκνα νενόμισται· ἢν δὲ ἀνὴρ ἀστὸς, καὶ ὁ πρῶτος αὐτέων, γυναῖκα ξείνην ἢ πολλακὴν ἔχῃ, ἄλλα τὰ τέκνα γίνεται.

174 XLIV. Οἱ μὲν νυν Κᾶρες ὅδε λαμπρὸν ἔργον ἀπεδέξαντο, ἐδουλώθησαν ὑπὸ Ἁρπάγου· οὔτε αὐτοὶ οἱ Κᾶρες ἀπεδέξαντο ὅδε, ἔτε ὅσοι Ἑλλήνων ταύτην τὴν χώρην οἰκέουσι· οἰκέουσι δὲ καὶ ἄλλοι, καὶ Λακεδαιμονίων ἄποικοι Κνίδιοι, τῆς χώρης τῆς σφετέρης τετραμμένης ἐς Cnidii.
πόντον, τὸ δὴ Τριόπιον καλέεται· ἀρξαμένης δὲ ἐκ τῆς Χερσονήσου τῆς [o] Βυβασσίης, ἐούσης τε πάσης τῆς Κνιδίης,

[m] Eadem Strabo xii. 573. et xiv. 667.

[n] Eorum enim quos Sarpedon secum e Creta adduxerat plerique Cares erant. Strab. ubi supr.

[o] Olim Βυβλισίης, quod nihili est. Βυβασσίης reponendum monuit Is. Vossius ad Pomponium Melam, i. 16. 10. conf. Diod. v. 62. Plin. H. N. v. 28. et Ovid. Metam. ix. 643.

πλὴν ὀλίγης, περιῤῥόῃ, (τὰ μὲν γὰρ αὐτῆς πρὸς βορῆν ἄνεμον, ὁ Κεραμεικὸς κόλπος ἀπείργει, τὰ δὲ πρὸς νότον, ἡ κατὰ Σύμην τε καὶ Ῥόδον θάλασσα) τὸ ὦν δὴ ὀλίγον τοῦτο, ἐὸν ὅσον τε ἐπὶ πέντε στάδια, ὤρυσσον οἱ Κνίδιοι, ἐν ὅσῳ Ἅρπαγος τὴν Ἰωνίην καλεσρέφετο, βουλόμενοι νῆσον τὴν χώρην ποιῆσαι· ἐντὸς δὲ πᾶσά σφι ἐγένετο· τῇ γὰρ ἡ Κνιδίη χώρη ἐς τὴν ἤπειρον τελευτᾷ, ταύτῃ ὁ ἰσθμός ἐσι, τὸν ὤρυσσον· ἐς δὴ πολλὴ χειρὶ ἐργαζομένων τῶν Κνιδίων, μᾶλλον γάρ τι ἢ θειότερον ἐφαίνοντο τιτρώσκεσθαι οἱ ἐργαζόμενοι τοῦ οἰκότος τά τε ἄλλα τὸ σώματος, καὶ μάλισα τὰ περὶ τοὺς ὀφθαλμούς, θρωσομένης τῆς πέτρης, ἔπεμπον ἐς Δελφοὺς θεοπρόπους ἐπερησομένους τὸ ἀντίξοον· ἡ δὲ Πυθίη σφι, ὡς αὐτοὶ Κνίδιοι λέγουσι, χρᾷ ἐν τριμέτρῳ τόνῳ τάδε·

Cnidia peninsula divinitus servata.

Ἰσθμὸν δὲ μὴ πυργοῦτε, μηδ' ὀρύσσετε·
Ζεὺς γάρ κ' ἔθηκε νῆσον, εἴ κ' ἐβούλετο.

Κνίδιοι μὲν, ταῦτα τῆς Πυθίης χρησάσης, τό τε ὀρύγματος ἐπαύσαντο, καὶ Ἅρπάγῳ ὑπόντι σὺν τῷ στρατῷ ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν.

Pedasenses. XLV. Ἦσαν δὲ Πηδασέες οἰκέοντες ὑπὲρ Ἁλικαρνασσοῦ μεσόγαιαν· τοῖσι ὄκως τι μέλλοι ἀνεπιτήδεον ἔσεσθαι, αὐτοῖσί τε καὶ τοῖσι περιοίκοισι, ἡ ἱερείη τῆς Ἀθηναίης πώγωνα [P] μέγαν ἴσχει. Τρὶς σφι τοῦτο ἐγένετο. Οὗτοι τῶν πρὸς Καρίην ἀνδρῶν μοῦνοί τε ἀντέσχον χρόνον Ἅρπάγῳ, καὶ πρήγματα παρέσχον πολλὰ, ὄρος τειχίσαντες, τῷ οὔνομά ἐσι Λίδη. Πηδασέες μέν νυν 175

Sacerdos Palladis in adversis barbata.

[P] Vid. viii. 104. Etiam Aristoteles serio hæc retulit, Hist. An. iii. 11. γυνὴ δὲ τὰς ἐπὶ τῷ γενείῳ οὐ φύει τρίχας, πλὴν ὀλίγαις γίγνονται—καὶ οἷον ἐν Καρίᾳ ταῖς ἱερείαις, ὃ δοκεῖ συμβαίνειν σημεῖον τῶν μελλόντων. Cf. Strab. xiii. 611.

176 χρόνῳ ἐξῃρέθησαν· Λύκιοι δὲ, ὡς ἐς τὸ Ξάνθιον πεδίον ἤλασε ὁ Ἅρπαγος τὸν στρατὸν, ὑποστάντες, καὶ μαχόμενοι ὀλίγοι πρὸς πολλοὺς, ἀρετὰς ἀπεδείκνυντο· ἐσσωθέντες δὲ, καὶ καταληφθέντες ἐς τὸ ἄστυ, συνήλισαν ἐς τὴν ἀκρόπολιν τάς τε γυναῖκας καὶ τὰ τέκνα καὶ τὰ χρήματα καὶ τὺς οἰκέτας· καὶ ἔπειτα ὑπῆψαν τὴν ἀκρόπολιν πᾶσαν ταύτην καίεσθαι· ταῦτα δὲ ποιήσαντες καὶ συνομόσαντες ὅρκους δεινὺς, ὑπεξελθόντες ἀπέθανον πάντες Ξάνθιοι [q] μαχόμενοι. Τῶν δὲ νῦν Λυκίων Φαμένων Ξανθίων εἶναι, οἱ πολλοὶ, πλὴν ὀγδώκοντα ἑστιέων, εἰσὶ ἐπήλυδες· αἱ δὲ ὀγδώκοντα ἑστίαι αὖται ἔτυχον τηνικαῦτα ἐκδημέουσαι, καὶ οὕτω περιεγένοντο. Τὴν μὲν δὴ Ξάνθον οὕτως ἔσχε ὁ Ἅρπαγος· πολλαπλησίως δὲ καὶ τὴν Καῦνον ἔσχε· καὶ γὰρ οἱ Καύνιοι τοὺς Λυκίους ἐμιμήσαντο τὰ πολέω. Τὰ μέν νυν κάτω τῆς Ἀσίης Ἅρπαγος ἀνάστατα ἐποίεε· τὰ δὲ ἄνω αὐτῆς, αὐτὸς Κῦρος, πᾶν ἔθνος καταστρεφόμενος, καὶ ἀδέων παριείς. Τὰ μέν νυν αὐτέων πλέω παρήσομεν· τὰ δὲ οἱ παρέσχε πόνον τε πλεῖσον καὶ ἀξιαπηγητότατά ἐστι, τούτων ὑπομνήσομαι.

Xanthiorum calamitas.

175

XLVI. Κῦρος ἐπεί τε τὰ πάντα τῆς ἠπείρου ὑπο-

[q] Nihil a majoribus ſuis degeneraverunt Xanthii, aut Alexandri Mag. aut Bruti et Caſſii temporibus. Ξάνθιοι μὲν δὴ, inquit Appianus de Bell. Civ. iv. 80. τρίτον ὑπὸ σφῶν αὐτῶν ἀπώλλυντο (urbe ſua nempe a Bruto expugnata) ἐλευθερίας οὕνεκα· καὶ γὰρ ἐπὶ Ἁρπάγου τοῦ Μήδου, Κύρῳ τῷ μεγάλῳ στρατηγοῦντος, ὧδε σφᾶς ἀντὶ δουλοσύνης διέφθειραν, καὶ τάφος Ξανθίοις ἡ πόλις ἀμειληθεῖσα ὑπὸ Ἁρπάγου τότε ἐγένετο· καὶ ἐπὶ Ἀλεξάνδρου τοῦ Φιλίππου φασὶν ὅμοια παθεῖν, οὐχ ὑποστάντας οὐδὲ Ἀλεξάνδρῳ μετὰ τοσῆσδε γῆς ἀρχὴν ὑπακοῦσαι. Vid. et Plutarch. in Bruto, p. 998.

χείρια ἐποιήσατο, Ἀσσυρίοισι ἐπετίθετο. Τῆς δὲ Ἀσ- 178
συρίης ἐστὶ τὰ μέν κου καὶ ἄλλα πολίσματα μεγάλα
πολλά· τὸ δὲ ὀνομαστότατον καὶ ἰσχυρότατον, καὶ ἔνθα
σφι, τῆς Νίνου ἀναστάτου γενομένης, τὰ βασιλήϊα κατ-
εστήκεε, ἦν Βαβυλὼν, ἐοῦσα τοιαύτη δή τις πόλις· κέ-
ετο ἐν πεδίῳ μεγάλῳ, μέγαθος ἐοῦσα μέτωπον ἕκαστον,
εἴκοσι καὶ ἑκατὸν σταδίων, ἐούσης τετραγώνου· οὗτοι στάδιοι
τῆς περιόδου τῆς πόλιος γίνονται συνάπαντες ὀγδώκοντα
καὶ [r] τετρακόσιοι· τὸ μέν νυν μέγαθος τοσοῦτόν ἐστι τοῦ
ἄστεος τοῦ Βαβυλωνίου· ἐκεκόσμητο δὲ ὡς οὐδὲν ἄλλο πό-
λισμα τῶν ἡμεῖς ἴδμεν· τάφρος μὲν πρῶτά μιν βαθέα
τε καὶ εὐρέα καὶ πλέη ὕδατος περιθέει· μετὰ δὲ, τεῖχος
πεντήκοντα μὲν πηχέων βασιληΐων ἐὸν τὸ εὖρος, ὕψος [s]

Babylonis magnitudo et forma.

[r] Strabo (xvi. 738.) Babylonis ambitum fuisse inquit stadiorum ccclxxxv, Diodorus (ii. 7.) ccclx, Clitarchus vero, καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρου διαβάντων εἰς τὴν Ἀσίαν τινὲς, ccclxv. Magna sane diversitas; sed verisimile est, ut recte monet D'Anvillius, aliam fuisse Herodoto, aliam Diodoro et cæteris stadii mensuram. Vid. Traité des Mesures Itinéraires c. vi. et Mémoire sur la position de Babylone. Acad. des Inscr. t. xxviii. Sed de stadii mensura alicubi fusius dicendum erit.

[s] Aliter Diodor. ii. 7. ὀπτὰς δὲ πλίνθους εἰς ἄσφαλτον ἐνδησαμένη (Semiramis sc. quam Babylonem condidisse auctor est Diodor.) τεῖχος κατεσκεύασε, τὸ μὲν ὕψος, ὡς μὲν Κτησίας φησὶ, πεντήκοντα ὀργυιῶν, ὡς δ' ἔνιοι τῶν νεωτέρων ἔγραψαν, πηχῶν πεντήκοντα· τὸ δὲ πλάτος, πλεῖον ἢ δυσὶν (supra vero e Ctesia dixerat ἓξ) ἅρμασιν ἱππάσιμον. Strabo xvi. 738. πάχος δὲ τοῦ τείχους ποδῶν δύο καὶ τριάκοντα· ὕψος δὲ τῶν μὲν μεσοπυργίων, πήχεις πεντήκοντα, τῶν δὲ πύργων ἑξήκοντα· ἡ δὲ πάροδος ἐπὶ τοῦ τείχους, ὡς τέθριππα ἐναντιοδρομεῖν ἀλλήλοις ῥαδίως. In alia abierunt Plinius, Q. Curtius, et Philostratus; quos quidem ad examen revocavit Salmas. in Solin. 871. et item Olearius ad Philostr. vit. Apoll. i. 25. qui imprimis consulendi sunt. Cæterum ne cui fidem superare videatur murorum, qualis ab Herodoto posita est, crassitudo, audiendus est Tavernier, Voyages de Perse, ii. 8. Loquitur de urbis cujusdam antiquæ prope Tigrin fl. sitæ ruderibus et relliquiis. *Il y a*

δὲ, διηκοσίων πηχέων· ὁ δὲ βασιλήϊος πῆχυς τοῦ μετρίου
179 ἐστὶ πήχεος μέζων τρισὶ [t] δακτύλοισι. Δεῖ δή με πρὸς
τούτοισι ἐπιφράσαι, ἵνα τε ἐκ τῆς τάφρου ἡ γῆ ἀναι-
σιμώθη, καὶ τὸ τεῖχος ὅντινα τρόπον ἔργαστο. Ὀρύσσοντες
ἅμα τὴν τάφρον, ἐπλίνθευον τὴν γῆν ἐκ τοῦ ὀρύγματος
ἐκφερομένην· [u] ἑλκύσαντες δὲ πλίνθους ἱκανὰς, ὤπτησαν
αὐτὰς ἐν καμίνοισι· μετὰ δὲ, [x] τέλματι χρεώμενοι ἀσ-
φάλτῳ θερμῇ, καὶ διὰ τριήκοντα δόμων [y] πλίνθου
ταρσοὺς καλάμων διαστοιβάζοντες, ἔδειμαν πρῶτα μὲν
τῆς τάφρου τὰ χείλεα· δεύτερα δὲ, αὐτὸ τὸ τεῖχος τὸν
αὐτὸν τρόπον· ἐπάνω δὲ τοῦ τείχεος παρὰ τὰ ἔσχατα, οἰ-
κήματα μουνόκωλα ἔδειμαν, τετραμμένα ἐς ἄλληλα·
τὸ μέσον δὲ τῶν οἰκημάτων ἔλιπον τεθρίππῳ περιέ-
λασιν· πύλαι δὲ ἐνεστᾶσι πέριξ τοῦ τείχεος ἑκατὸν,
χάλκεαι πᾶσαι· καὶ σταθμοί τε καὶ ὑπέρθυρα ὡσαύτως.
Ἔστι δὲ ἄλλη πόλις ἀπέχουσα ὀκτὼ ἡμερέων ὁδὸν ἀπὸ
Βαβυλῶνος· Ἰς οὔνομα αὐτῇ· ἔνθα ἐστὶ ποταμὸς οὐ Is urbs

des restes de murailles qui sont si larges qu'il y pourroit passer six carosses de front. Elles sont de brique cuite au feu, et chaque brique est de dix pieds en quarré, et de trois d'épais.

[t] Valet itaque cubitus regius uncias pedis Anglic. xx cum quadrante, communis xviii tantum.

[u] Πλινθουργὸς, πλινθουλκὸς, πλινθουλκεῖν, sunt in Jul. Poll. vii. xxxiii. 163. et apud Latinos, *ducendi lateres, ducti lateres, ducere lateres.* Vitruv. ii. 3. Plin. H. N. xxxv. 14.

[x] Τέλματα, τὰ πηλώδη. Τελμάτων, πηλῶν. Hesych.

[y] Δόμοι πλίνθου—*ordines laterum*; Angl. *courses of brick.* Ita ii. 127. ὑποδείμας δὲ τὸν πρῶτον δόμον λίθου Αἰθιοπικοῦ ποικίλου. Ita quoque Diodorus, i. 64. xvii. 115. et Polyb. x. 22. Cæterum de tota hac structuræ ratione, de bitumine pro calce adhibito, et de arundinibus inter compages latericias interpositis consulendi sunt Tavernier, Voyages de Perse, ii. 7. Pietro Della Valle, t. i. p. 400. et Niebuhr, t. ii. p. 248.

et Is fluvius bituminosus.

μέγας. Ἶς ϗ τῷ πολαμῷ τὸ ὄνομα· ἐσβάλλει δὲ ὗτος ἐς τὸν Εὐφρήτην ποταμὸν τὸ ῥέεθρον· ὗτος ὧν ὁ Ἶς ποταμὸς, ἅμα τῷ ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλοὺς, ἔνθεν ἡ ἄσφαλτος ἐς τὸ ἐν Βαβυλῶνι τεῖχος [z] ἐκομίθη. Ἐτετείχιστο μέν νυν ἡ Βαβυλὼν τρόπῳ τοιῷδε· ἔστι δὲ δύο φάρσεα τῆς πόλιος· τὸ γὰρ μέσον αὐτῆς ποταμὸς διέργει, τῷ οὔνομά ἐστι Εὐφρήτης· ῥέει δὲ ἐξ [a] Ἀρμενίων, ἐὼν μέγας, ϗ βαθὺς, ϗ ταχύς· ἐξίει δὲ ὗτος ἐς τὴν Ἐρυθρὴν θάλασσαν· τὸ ὦν δὴ τεῖχος ἑκάτερον τοὺς ἀγκῶνας ἐς τὸν ποταμὸν ἐλήλαται· τὸ δὲ ἀπὸ τούτου, αἱ ὀπίσω πλευραὶ πόλιος χεῖλος ἑκάτερον τοῦ ποταμοῦ αἰμασιὴ πλίνθων ὀπλέων πεδατείνει· τὸ δὲ ἄχυ αὐτὸ ἐὸν πλῆρες οἰκιέων τριωρόφων τε ϗ τετρωρόφων, καλαλέτμηται τὰς ὁδοὺς ἰθείας, τάς τε ἄλλας, ϗ τὰς ὀπισθίας τὰς ἐπὶ τὸν ποταμὸν ἐχούσας· καὶ ἐν δὴ ὧν ἑκάστην ὁδὸν ἐν τῇ αἰμασιῇ τῇ πεδὰ τὸν ποταμὸν

Euphrates fluvius.

180

[z] Strab. xvi. 743. γίνε] δ' ἐν τῇ Βαβυλωνίᾳ ἡ ἄσφαλτος πολλὴ, περὶ ἧς Ἡρακλείδης μὲ ἔτως εἴρηκεν· ὅτι ἡ μὲν ὑγρὰ ἣν καλῦσι ῥάφθαν, γίνεται ἐν τῇ Σουσίδι, ἡ δὲ ξηρὰ δυναμένη πήγνυσθαι, ἐν τῇ Βαβυλωνίᾳ· ταύτης δ' ἐστὶν ἡ πηγὴ τοῦ ῥάφθα πλησίον· πλημμύροντος δὲ τούτου καὶ τὰς τῶν χιόνων τήξεις, ϗ αὐτὴ πληροῦται, ϗ ὑπέρχυσιν εἰς τὸν ποταμὸν λαμβάνει· ἐνταῦθα δὲ συνίστανται βῶλοι μεγάλαι πρὸς τὰς οἰκοδομὰς ἐπιτήδειαι, τὰς διὰ τῆς ὀπτῆς πλίνθου. Ἄλλοι δὲ ϗ τὴν ὑγρὰν ἐν τῇ Βαβυλωνίᾳ γίνεσθαι φασί· περὶ μὲν ἓν τῆς ξηρᾶς, εἴρηται πόσον τὸ χρήσιμον τὸ ἐκ τῶν οἰκοδομιῶν μάλιστα· φασὶ δὲ ϗ πλοῖα πλέκεσθαι, ἐμπλαισθέντα δ' ἀσφάλτῳ, πυκνοῦσθαι. Et istiusmodi bituminis seu naphthæ scaturigines in innumeris locis reperiri satis notum est. Quod ad Babyloniam attinet, et vicinas Babyloniæ regiones, Herodoto et Straboni adstipulantur omnes qui eas regiones sibi cognitas habuerunt. Satis sit unum nominare Niebuhrium, t. ii. p. 273. Urbs autem Is (Niebuhrio l. c. *Het*) ad Euphratem posita est, haud procul a Cunaxa, (ut D'Anvillio videtur) loco celebri illa pugna inter Artaxerxem et Cyrum fratrem nobilitato.

[a] De ortu et cursu Euphratis imprimis consulendus est Salmasius in Solinum, p. 437.

πυλίδες ἐπήεσαν, ὅσαιπερ αἱ [b] λαῦραι, τοσαῦται ἀριθμόν· ἦσαν δὲ καὶ αὗται χάλκεαι, φέρουσαι καὶ αὐταὶ ἐς
181 αὐτὸν τὸν ποταμόν. Τοῦτο μὲν δὴ τὸ τεῖχος θώρηξ ἐστί· ἕτερον δὲ ἔσωθεν τείχος βέβηθεῖ, οὐ πολλῷ τέῳ ἀσθενέστερον τοῦ ἑτέρου τείχεος, στενότερον δέ· ἐν δὲ Φάρσει ἑκατέρῳ τῆς πόλιος ἐτετείχιστο ἐν μέσῳ, ἐν τῷ ἦεν [c] τὰ βασιλήια, περιβόλῳ τε μεγάλῳ τε καὶ ἰσχυρῷ, ἐν δὲ τῷ ἑτέρῳ, Διὸς Βήλου ἱρὸν [d] χαλκόπυλον, καὶ ἐς ἐμὲ τοῦτο ἔτι ἐὸν, δύο σταδίων πάντη, ἐὸν τετράγωνον· ἐν μέσῳ δὲ τοῦ ἱροῦ πύργος στερεὸς οἰκοδόμηται, σταδίου καὶ τὸ μῆκος καὶ τὸ εὖρος· καὶ ἐπὶ τούτῳ τῷ πύργῳ ἄλλος πύργος ἐπιβέβηκε, καὶ ἕτερος μάλα ἐπὶ τούτῳ, [e] μέχρις οὗ ὀκτὼ πύργων· ἀνάβασις δὲ ἐς αὐτοὺς ἔξωθεν κύκλῳ βέβηλὰς τοὺς πύργους ἔχουσα πεποίηται· μεσοῦντι δέ κου τῆς ἀναβάσιος, ἔστι καταγωγή τε καὶ θῶκοι ἀμπαυστήριοι, ἐν τοῖσι καθίζοντες ἀμπαύονται οἱ ἀναβαίνοντες· ἐν δὲ τῷ τελευταίῳ πύργῳ νηὸς ἔπεστι μέγας· ἐν δὲ τῷ νηῷ κλίνη μεγάλη κέεται εὖ ἐστρωμένη, καί οἱ τράπεζα παρακέεται χρυσέη· ἄγαλμα δὲ οὐκ ἔνι οὐδὲν αὐτόθι ἐνιδρυμένον, οὐδὲ νύκτα οὐδεὶς ἐναυλίζεται ἀνθρώπων, ὅτι μὴ γυνὴ μούνη τῶν ἐπιχωρίων, τὴν ἂν ὁ θεὸς ἕληται ἐκ πασέων, ὡς λέγουσι οἱ [f] Χαλδαῖοι, ἐόντες ἱρέες τούτου τοῦ θεοῦ.

Jovis Beli templum.

[b] Hom. Od. X'. 128. Ἦν ὁδὸς ἐς λαύρην.—

[c] Ἐν τῷ ἦεν—legendum omnino, ἐν τῷ μέν. Gronov

[d] Cf. Diodor. ii. 9. Strab. xvi. 738. P. Della Valle, t. i. 398. et Niebuhr, t. ii. 236.

[e] Ita ſæpe Herodotus; ii. 19. μέχρι οὗ αὐτις τροπέων τῶν θερινέων. ii. 173. μέχρι ὅτου πληθώρης ἀγορῆς. et iii. 104. μέχρις οὗ ἀγορῆς διαλύσιος.

[f] Τῶν ἱερέων, οὓς Βαβυλώνιοι καλοῦσι Χαλδαίους. Diodor. ii. 24. Χαλδαῖοι τοίνυν τῶν ἀρχαιοτάτων ὄντες Βαβυλωνίων τῇ μὲν διαιρέσει τῆς πολιτείας παραπλησίαν ἔχουσι τάξιν τοῖς καλ' Αἰγυπτίοις ἱερεῦσι. Ibid. 29. φασὶ δὲ τοὺς ἐν

Φασὶ δὲ οἱ αὐτοὶ, ἐμοὶ μὲν ὐ πιθανὰ λέγοντες, τὸν θεὸν 182
αὐτὸν φοιτᾶν τε ἐς τὸν νηὸν, καὶ ἀμπαύεσθαι ἐπὶ τῆς κλίνης, καθάπερ ἐν [g]Θήβῃσι τῇσι Αἰγυπτίῃσι, κατὰ τὸν αὐτὸν τρόπον, ὡς λέγεσι οἱ Αἰγύπτιοι· καὶ γὰρ δὴ ἐκεῖθι κοιμᾶται ἐν τῷ τοῦ Διὸς τοῦ Θηβαιέος γυνή· ἀμφοτέρας δὲ αὗται λέγονται ἀνδρῶν ὐδαμῶν ἐς ὁμιλίην φοιτᾶν· καὶ κατάπερ ἐν Πατάροισι τῆς Λυκίης ἡ πρόμαντις τοῦ θεοῦ, ἐπεὰν γένηται· ὐ γὰρ ὢν [h]αἰεὶ ἔστι χρηστήριον αὐτόθι· ἐπεὰν δὲ γένηται, τότε ὢν συγκαλα- 184
κλήϊεται τὰς νύκτας ἔσω ἐν τῷ νηῷ. Ἔστι δὲ τοῦ ἐν Βα- 183
βυλῶνι ἱροῦ καὶ ἄλλος κάτω νηὸς, ἔνθα ἄγαλμα μέγα τοῦ Διὸς ἔνι καθήμενον χρύσεον· καί οἱ τράπεζα μεγάλη παρακέεται χρυσέη, καὶ τὸ βάθρον οἱ καὶ ὁ θρόνος χρύσεός ἐστι· καὶ, ὡς ἔλεγον οἱ Χαλδαῖοι, ταλάντων ὀκτακοσίων χρυσίου πεποίηται ταῦτα· ἔξω δὲ τοῦ νηοῦ, βωμός ἐστι χρύσεος· ἔστι δὲ καὶ ἄλλος βωμὸς μέγας, ὅπου θύεται τὰ τέλεα τῶν προβάτων· ἐπὶ γὰρ τοῦ χρυσέου βωμοῦ οὐκ ἔξεστι θύειν, ὅτι μὴ [i]γαλαθηνὰ μοῦνα· ἐπὶ δὲ τοῦ μέζονος βωμοῦ καὶ καταγίζουσι λιβανωτοῦ χίλια τάλαντα ἔτεος ἑκάστου οἱ Χαλδαῖοι, τότε ἐπεὰν τὴν ὁρτὴν ἄγωσι

Βαβυλῶνι Χαλδαίους, ἀποίκους Αἰγυπτίων ὄντας, τὴν δόξαν ἔχειν τὴν περὶ τῆς ἀστρολογίας, παρὰ τῶν ἱερέων μαθόντας τῶν Αἰγυπτίων. Diod. i. 81 Strabo autem xvi. 739. ἀφώρισο δ' ἐν τῇ Βαβυλωνίᾳ κατοικία τοῖς ἐπιχωρίοις φιλοσόφοις, τοῖς Χαλδαίοις προσαγορευομένοις, οἳ περὶ ἀστρονομίαν εἰσὶ τὸ πλέον· προσποιοῦνται δέ τινες καὶ γενεθλιαλογεῖν, ὃς ὐ κατεδέχοντο οἱ ἕτεροι· ἔστι δὲ καὶ φῦλον τι τῶν Χαλδαίων, καὶ χώρα τῆς Βαβυλωνίας ὑπ' ἐκείνων οἰκουμένη, πλησιάζουσα καὶ τοῖς Ἄραψι, καὶ τῇ καλῇ Πέρσας λεγομένῃ θαλάττῃ.

[g] Vid. Strab. xvii. 816.

[h] Servius ad Æneid. iv. 143. *Constat Apollinem sex mensibus hyemalibus apud Pataram Lyciæ civitatem dare responsa, unde Pataræus Apollo dicitur,* (Hor. Od. iii. 4. 64.) *et sex æstivis apud Delum.*

[i] Hom. Od. Δ'. 336. et Ρ'. 127. Νεκροὺς κοιμήσασα νεηγενέας, γαλαθηνούς.

τῷ θεῷ τούτῳ· ἦν δὲ ἐν τῷ τεμένεϊ τούτῳ ἔτι τὸν χρόνον
ἐκεῖνον καὶ ἀνδριὰς δυώδεκα πήχεων, χρύσεος, στερεός·
ἐγὼ μὲν οὐκ εἶδον· τὰ δὲ λέγεται ὑπὸ Χαλδαίων
ταῦτα λέγω· τούτῳ τῷ ἀνδριάντι Δαρεῖος μὲν ὁ Ὑστάσ-
πεος ἐπιβουλεύσας, οὐκ ἐτόλμησε λαβεῖν· [k] Ξέρξης δὲ ὁ
Δαρείου ἔλαβε, καὶ τὸν ἱρέα ἀπέκτεινε, ἀπαγορεύοντα μὴ
κινέειν τὸν ἀνδριάντα· τὸ μὲν δὴ ἱρὸν τοῦτο οὕτω κεκόσ-
μηται· ἔστι δὲ καὶ ἴδια ἀναθήματα πολλά.

184 XLVII. Τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μέν κου
καὶ ἄλλοι ἐγένοντο βασιλῆες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λό-
γοισι[l] μνήμην ποιήσομαι, οἳ τὰ τείχεά τε ἐπεκόσμησαν
καὶ τὰ ἱρά· ἐν δὲ δὴ καὶ γυναῖκες δύο. Ἡ μὲν πρότερον
ἄρξασα, τῆς ὕστερον ἡμερῇσι πέντε πρότερον γενομένη, τῇ
οὔνομα ἦν [m] Σεμίραμις, αὕτη μὲν ἀπεδέξατο χώματα Semiramis regina.
ἀνὰ τὸ πεδίον ἐόντα ἀξιοθέητα· πρότερον δὲ ἐώθεε ὁ
185 ποταμὸς ἀνὰ τὸ πεδίον πᾶν πελαγίζειν. Ἡ δὲ δὴ

[k] Cf. Arrian. Exp. Alex. vii. 480 et Diodor. ii. 9.

[l] Videtur igitur (ut ſupra quoque 106.) lectorem ad alteram aliquam hiſtoriam ablegare, quam ſpeciatim de rebus Aſſyriis conſcripſerat; ſed recte Fabricius t. i. p. 698. *Hiſtoriam iſtam*, inquit, *ab Herodoto elaboratam fuiſſe non crediderim, quoniam nemini veterum memoratur. Ariſtoteles quidem (lib. viii. H. A. c. 18.) reprehendit Herodotum, quod tradiderit aquilam in obſidione Nini bibiſſe, cum univerſæ aves γαμψώνυχες, ſive aduncis unguibus præditæ, potu abſtineant: illud vero in novem Herodoti libris neutiquam occurrens, ex Aſſyriaca ejus hiſtoria petitum G. J. Voſſius (de Hiſt. Gr. l. i. c. 3. et lib. iii. de Idololatr. c. 90.) ſuſpicabatur. Forte autem integrioribus Herodoti Muſis uſus eſt Ariſtoteles, cum Iſ. Voſſius quoque Colomeſio (p. 121. Opuſc.) teſtatus ſit plura ſe Herodoti loca obſervaſſe, quæ in libris quales hodie habemus non extant.*

[m] Nihil hic de Semiramide Nini conjuge cogitandum eſt, ſed, ut diſerte ſcriptum eſt, de Semiramide aliqua Babylonis regina. Plures autem reginas in Aſia olim fuiſſe, quibus *Semiramidis* fuerit titulus, aliunde conſtat. Vid. Scalig. ad Chron. Euſebii, Ann. DLXXXIII.

Nitocris. δεύτερον γενομένη ταύτης βασίλεια, τῇ ὄνομα ἦν Νίτωκρις, (αὕτη δὲ σωφρονεστέρη γενομένη τῆς πρότερον ἀρξάσης) τῶν μὲν, μνημόσυνα ἐλίπετο τὰ ἐγὼ ἀπηγήσομαι, τῶν δὲ, τὴν Μήδων ὁρῶσα ἀρχὴν μεγάλην τε καὶ οὐκ [n] ἀτρεμίζουσαν, ἄλλα τε ἀραιρημένα ἄστεα αὐτοῖσι, ἐν δὲ δὴ καὶ τὴν Νῖνον, προεφυλάξατο ὅσα ἐδυνάτο μάλιστα· πρῶτα μὲν τὸν Εὐφρήτην ποταμὸν, ῥέοντα πρότερον ἰθὺ, ὡς σφι ἀπὸ τῆς πόλιος μέσης ῥέει, τοῦτον, ἄνωθεν διώρυχας ὀρύξασα, ἔτω δή τι ἐποίησε σκολιὸν, ὥστε δὴ τρὶς ἐς τῶν τινα κωμέων τῶν ἐν τῇ Ἀσσυρίῃ ἀπικνέεται ῥέων· τῇ δὲ κώμῃ ὄνομά ἐστι, ἐς τὴν ἀπικνέεται ὁ Εὐφρήτης, Ἀρδέρικκα· καὶ νῦν οἱ ἂν κομίζωνται ἀπὸ τῆσδε τῆς θαλάσσης ἐς Βαβυλῶνα, καταπλέοντες ἐς τὸν Εὐφρήτην ποταμὸν, τρίς τε ἐς τὴν αὐτὴν ταύτην κώμην προαγίνονται, καὶ ἐν τρισὶ ἡμέρῃσι· τοῦτο μὲν δὴ τοιοῦτο ἐποίησε· χῶμα δὲ παρέχωσε παρ' ἑκάτερον τοῦ ποταμοῦ τὸ χεῖλος, ἄξιον θωύματος, μέγαθος καὶ ὕψος ὅσον τί ἐστι· καταὐτόθι δὲ πολλῷ Βαβυλῶνος ὤρυξε [o] ἕλυτρον λίμνῃ, ὀλίγον τι προαλέεσθαι ἀπὸ τοῦ ποταμοῦ, βάθος μὲν ἐς τὸ ὕδωρ ἀεὶ ὀρύσσουσι, εὖρος δὲ τὸ προέμετρον αὐτοῦ ποιεῦσι εἴκοσί τε καὶ τετρακοσίων σταδίων· τὸν δὲ ὀρυσσόμενον χοῦν ἐκ τούτου τοῦ ὀρύγματος ἀναισιμοῦ παρὰ τὰ χείλεα τοῦ ποταμοῦ προχέουσι· ἐπεί τε δέ οἱ ὥρυκτο, λίθους ἀγαγομένη, κρηπῖδα κύκλῳ περὶ αὐτὴν ἔλασε· ἐποίεε δὲ ἀμφότερα ταῦτα, τόν τε ποταμὸν σκολιὸν, καὶ τὸ ὄρυγμα πᾶν ἕλος, ὡς ὅ, τε ποταμὸς βραδύτερος εἴη, περὶ καμπὰς πολλὰς ἀγνύ-

[n] Ita 190. huj. Κῦρον οὐκ ἀτρεμίζοντα. Vid. etiam viii. 14.

[o] Hesych. Ἕλυτρα, πηγαὶ, καὶ σωλῆνες. Vid. et iv. 173.

μῆκος, καὶ οἱ πλόοι ἐῶσι σκολιοὶ ἐς τὴν Βαβυλῶνα· ἔκ τε τῶν πλόων ἐκδέκηται περίοδος τῆς λίμνης μακρή· καὶ τὰ τοῦτο δὲ εἰργάζετο τῆς χώρης τῇ αἰ τε ἐσβολαὶ ἦσαν, καὶ τὰ σιώτομα τῆς ἐκ Μήδων ὁδοῦ, ἵνα μὴ ἐπιμισγόμενοι οἱ Μῆδοι ἐκμανθάνοιεν αὐτῆς τὰ πρήγματα. Ταῦτα μὲν δὴ ἐκ βάθεος περιεβάλετο· τοιήνδε δὲ ἐξ αὐτῶν παρενθήκην ἐποιήσατο· τῆς πόλιος ἐούσης δύο Φαρσέων, τοῦ δὲ ποταμοῦ μέσον ἔχοντος, ἐπὶ τῶν πρότερον βασιλέων ὅκως τις ἐθέλοι ἐκ τοῦ ἑτέρου Φάρσεος ἐς τὸ ἕτερον διαβῆναι, χρῆν πλοίῳ διαβαίνειν· καὶ ἦν, ὡς ἐγὼ δοκέω, ὀχληρὸν τοῦτο· αὕτη δὲ καὶ τοῦτο προεῖδε· ἐπεί τε γὰρ ὤρυξε τὸ ἔλυτρον τῇ λίμνῃ, μνημόσυνον τόδε ἄλλο ἀπὸ τοῦ αὐτοῦ ἔργου ἐλίπετο· ἐτάμνετο λίθους πολυμήκεας· ὡς δὲ οἱ ἦσαν οἱ λίθοι ἕτοιμοι, καὶ τὸ χωρίον ὠρώρυκτο, ἐκτρέψασα τοῦ ποταμοῦ τὸ ῥέεθρον πᾶν ἐς τὸ ὄρυγμα χωρίον· ἐν τῷ ἐπίμπλατο τοῦτο, ἐν τούτῳ ἀπεζηραμένου τοῦ ἀρχαίου ῥεέθρου, τοῦτο μὲν τὰ χείλεα τοῦ ποταμοῦ καὶ τὴν πόλιν καὶ τὰς καταβάσιας τὰς ἐκ τῶν πυλίδων ἐς τὸν ποταμὸν Φερούσας ἀνοικοδόμησε πλίνθοισι ὀπτῇσι καὶ τὸν αὐτὸν λόγον τῷ τείχεϊ· τοῦτο δέ, καὶ μέσην κου μάλιστα τὴν πόλιν, τοῖσι λίθοισι τοὺς ὠρύξατο, οἰκοδόμεε γέφυραν, δέουσα τοὺς λίθους σιδήρῳ τε καὶ μολίβδῳ· ἐπετέλεσε δὲ ἐπ' αὐτὴν, ὅκως μὲν ἡμέρη γένοιτο, ξύλα τετράγωνα, ἐπ' ὧν τὴν διάβασιν ἐποιεῦντο τοὶ Βαβυλώνιοι· τὰς δὲ νύκτας τὰ ξύλα ταῦτα ἀπαιρέεσκον, τοῦδε εἵνεκα, ἵνα μὴ διαφοιτέοντες τὰς νύκτας κλέπτοιεν παρ' ἀλλήλων· ὡς δὲ τό, τε ὀρυχθὲν λίμνη πλήρης ἐγεγόνεε ὑπὸ τοῦ ποταμοῦ, καὶ τὰ περὶ τὴν γέφυραν ἐκεκόσμητο, τὸν Εὐφρήτην πο-

186

Labra Euphratis.

Pons.

ταμὸν ἐς τὰ ἀρχαῖα ῥέεθρα ἐκ τῆς λίμνης ἐξάγαγε· ᾗ
ἄτω τὸ ὀρυχθὲν ἕλος γενόμενον, ἐς δέον ἐδόκεε γεγονέναι,
καὶ τοῖσι πολιήτῃσι γέφυρα ἦν καλεσκευασμένη. Ἡ δ' 187
αὐτὴ αὕτη βασίλεια ᾗ ἀπάτην τοιήνδε τινα ἐμηχανήσα-
το· ὑπὲρ τῶν μάλιστα λεωφόρων πυλέων τῆ ἄγεος, 189
τάφον ἑωυτῇ καλεσκευάσατο μεγέθεϊ ἐπιπολῆς αὐτέων
τῶν πυλέων· ἐνεκόλαψε δὲ ἐς τὸν τάφον γράμματα
λέγοντα τάδε· ΤΩΝ ΤΙΣ ΕΜΕΥ ΥΣΤΕΡΟΝ ΓΙΝΟΜΕΝΩΝ
ΒΑΒΥΛΩΝΟΣ ΒΑΣΙΛΕΩΝ, ΗΝ ΣΠΑΝΙΣΗ ΧΡΗΜΑΤΩΝ,
ΑΝΟΙΞΑΣ ΤΟΝ ΤΑΦΟΝ, ΛΑΒΕΤΩ ΟΚΟΣΑ ΒΟΥΛΕΤΑΙ
ΧΡΗΜΑΤΑ. ΜΗ ΜΕΝΤΟΙ ΓΕ, ΜΗ ΣΠΑΝΙΣΑΣ ΓΕ, ΑΛ-
ΛΩΣ ΑΝΟΙΞΗ· ΟΥ ΓΑΡ ΑΜΕΙΝΟΝ. Οὗτος ὁ τάφος ἦν
ἀκίνητος, μέχρι οὗ ἐς Δαρεῖον περιῆλθε ἡ βασιληίη.
Δαρείῳ δὲ καὶ δεινὸν ἐδόκεε εἶναι τῆσι πύλῃσι ταύ-
τῃσι μηδὲν χρέεσθαι, καὶ, χρημάτων κειμένων, καὶ αὐ-
τῶν τῶν χρημάτων ἐπικαλεομένων, μὴ ἀ λαβεῖν αὐ-
τά· τῆσι δὲ πύλῃσι ταύτῃσι οὐδὲν ἐχρᾶτο τοῦδε εἵ-
νεκα, ὅτι ὑπὲρ κεφαλῆς οἱ ἐγίνετο ὁ νεκρὸς διεξελαύνων·
ἀνοίξας δὲ τὸν τάφον, εὗρε χρήματα μὲν οὐ, τὸν νεκρὸν
δὲ, καὶ γράμματα λεγόμενα τάδε· ΕΙ ΜΗ ΑΠΛΗΣΤΟΣ
ΤΕ ΕΑΣ ΧΡΗΜΑΤΩΝ ΚΑΙ ΑΙΣΧΡΟΚΕΡΔΗΣ, ΟΥΚ ΑΝ
ΝΕΚΡΩΝ ΘΗΚΑΣ ΑΝΕΩΓΕΣ. Αὕτη μέν νυν ἡ βασίλεια,
τοιαύτη τις λέγεται γενέσθαι.

Sepulchrum Nitocris.

Hujus reginæ filium invadit Cyrus.

XLVIII· Ὁ δὲ δὴ Κῦρος ἐπὶ ταύτης τῆς γυναικὸς 188
τὸν παῖδα ἐστρατεύετο, ἔχοντά τε τὸ πατρὸς τὸ ἑωυτοῦ
οὔνομα Λαβυνίτου καὶ τὴν Ἀσσυρίων ἀρχήν. Στρατεύεται
δὲ δὴ βασιλεὺς ὁ μέγας καὶ σιτίοισι εὖ ἐσκευασμένοισι
ἐξ οἴκου, καὶ ποτοῖσι· καὶ δὴ καὶ ὕδωρ ἀπὸ τοῦ Χο-
άσπεω ποταμοῦ ἅμα ἄγεται τοῦ παρὰ Σοῦσα ῥέοντος,

τοῦ μούνου πίνει [p]βασιλεὺς, καὶ ἄλλου οὐδενὸς ποταμοῦ· τούτου δὲ τοῦ Χοάσπεω τοῦ ὕδατος ἀπεψημένου πολλαὶ κάρτα ἅμαξαι τετράκυκλοι ἡμιόνειαι [q] κομίζουσαι ἐν ἀργυρέοισι ἀγγείοισι ἕπονταί οἱ, ὅποι ἂν ἐλαύνῃ ἑκάστοτε.

189 Ἐπεί τε δὲ ὁ Κῦρος πορευόμενος ἐπὶ τὴν Βαβυλῶνα ἐγίνετο ἐπὶ Γύνδῃ ποταμῷ, τοῦ αἱ μὲν πηγαὶ ἐν Ματιηνοῖσι οὔρεσι, ῥέει δὲ διὰ Δαρδανέων, ἐκδιδοῖ δὲ ἐς ἕτερον ποταμὸν Τίγριν, ὁ δὲ παρὰ Ὦπιν πόλιν ῥέων ἐς τὴν Ἐρυθρὴν θάλασσαν ἐκδιδοῖ· τοῦτον δὴ τὸν [r]Γύνδην ποταμὸν ὡς διαβαίνειν ἐπειρᾶτο ὁ Κῦρος, ἐόντα νηυσὶ περητὸν, ἐνθαῦτά οἱ τῶν τις [s]ἱρῶν ἵππων τῶν λευκῶν ὑπὸ ὕβριος ἐσβὰς ἐς τὸν ποταμὸν, διαβαίνειν ἐπειρᾶτο· ὁ δέ μιν συμψήσας, ὑποβρύχιον [t] οἰχώκεε φέρων· κάρτα τε δὴ ἐχαλέπαινε τῷ ποταμῷ ὁ Κῦρος τούτῳ ὑβρίσαντι· καί οἱ ἐπηπείλησε, οὕτω δή μιν ἀσθενέα ποιήσειν, ὥστε τοῦ λοιποῦ καὶ γυναῖκάς μιν εὐπετέως, τὸ γόνυ οὐ βρεχούσας διαβήσεσθαι· μετὰ δὲ τὴν ἀπειλὴν, μετεὶς τὴν ἐπὶ Βαβυλῶνα στράτευσιν, διαίρεε τὴν στρατιὴν δίχα· διελὼν δὲ, κατέτεινε σχοινοτενέας ὑποδέξας διώρυχας ὀγδώκοντα καὶ ἑκατὸν, παρ' ἑκάτερον τὸ χεῖλος τοῦ Γύνδεω τετραμμένας πάντα τρόπον· διατάξας δὲ τὸν

Gyndes fluvius.

Equi sacri.

[p] Citat hæc Athenæus, (ii.45.) Ctesiæ quoque testimonio adhibito. Cf. Plin. H. N. vi. 27. et xxxi. 3. Eadem quoque retulit Strabo xv. 735. nisi quod fluvium non Choaspem sed Eulæum appellat. Sed satis constat fluvium istum utroque nomine (Choaspis dico aut Eulæi) appellatum fuisse. Itaque apud Danielem, viii. 2. legitur; *cum essem in Susis castro quod est in Elam regione, vidi autem in visione esse me supra portam Ulai.*

[q] Hom. Il. Ω'. 266. Ἐκ μὲν ἅμαξαν ἄειραν εὔτροχον, ἡμιονείην, Καλήν.—

[r] Cf. v. 52.

[s] Cf. vii. 40, et 55.

[t] Hom. Od. Ε'. 319. Τόν δ' ἄρ' ὑπόβρυχα θῆκε πολὺν χρόνον.—

Gyndes a Cyro divisus.

στρατὸν, ὀρύσσειν ἐκέλευε· οἷα δὲ ὁμίλῳ πολλοῦ ἐργαζομένῳ, [u] ἤνετο μὲν τὸ ἔργον, ὅμως μέντοι τὴν θερείην πᾶσαν αὐτοῦ ταύτῃ διέτριψαν ἐργαζόμενοι. Ὡς δὲ τὸν 190
Γύνδην πολαμὸν ἐτίσατο Κῦρος, ἐς τριηκοσίας καὶ ἐξήκοντά μιν διώρυχας διελαβών, καὶ τὸ δεύτερον ἔαρ ὑπέλαμπε, οὕτω δὴ ἤλασνε ἐπὶ τὴν Βαβυλῶνα· οἱ δὲ Βαβυλώνιοι ἐκστρατευσάμενοι, ἔμενον αὐτόν· ἐπεὶ δὲ ἐγένετο ἐλαύνων

Babylonis obsidio.

ἀγχοῦ τῆς πόλιος, στρεβαλόν τε οἱ Βαβυλώνιοι, καὶ ἐσωθέντες τῇ μάχῃ, καλιελήθησαν ἐς τὸ ἄστυ· οἷα δὲ ἐξεπισταμένοι ἔτι πρότερον τ' Κῦρον οὐκ ἀτρεμίζοντα, ἀλλ' ὁρέοντες αὐτὸν παντὶ ἔθνεϊ ὁμοίως ἐπιχειρέοντα, προεσάξαντο [x] σιτία ἐτέων κάρτα πολλῶν· ἐνθαῦτα οὗτοι μὲν λόγον εἶχον τῆς πολιορκίης οὐδένα. Κῦρος δὲ ἀπορίῃσι ἐνείχετο, ἅτε χρόνου τε ἐγκινομένου συχνοῦ, ἀνωτέρω δὲ οὐδὲν τῶν

Cyri machinatio.

πρηγμάτων προκοπτομένων. Εἴτε δὴ ὦν ἄλλος οἱ ἀπο- 191
ρέοντι ὑπεθήκατο, εἴτε καὶ αὐτὸς ἔμαθε τὸ ποιητέον οἱ ἦν, ἐποίεε δὴ τοιόνδε· τάξας τὴν στρατιὴν ἄπασαν ἐξ ἐμβολῆς τοῦ πολαμοῦ, τῇ ἐς τὴν πόλιν ἐσβάλλει, καὶ ὄπισθε αὖτις τῆς πόλιος τάξας ἑτέρους, τῇ ἐξίει ἐκ τῆς πόλιος ὁ πολαμός· προεῖπε τῷ στρατῷ, ὅταν διαβατὸν τὸ ῥέεθρον ἰδώνται γιγνόμενον, ἐσιέναι ταύτῃ ἐς τὴν πόλιν· οὕτω τε δὴ τάξας, καὶ καλὰ ταῦτα παραινέσας, ἀπήλασνε αὐτὸς σὺν τῷ ἀχρηίῳ τοῦ στρατοῦ· ἀπικόμενος δὲ ἐπὶ τὴν λίμνην, τάπερ ἡ τῶν Βαβυλωνίων βασίλεια ἐποίησε καλά τε τὸν πολαμὸν καὶ καλὰ τὴν λίμνην, ἐποίεε δὲ ὁ Κῦρος ἕτερα τοιαῦτα· τὸν γὰρ πολαμὸν διώρυχι εἰσαγαγὼν ἐς τὴν λίμνην ἑοῦσαν ἕλος, τὸ ἀρχαῖον ῥέεθρον 192

[u] Hom. Il. κ'. 251.—μάλα γὰρ νὺξ ἄνεται.—

[x] Ita Xenoph. κ. π. vii. 5. Babylonii, inquit, ἔχοντες τὰ ἐπιτήδεια πλέον ἢ εἴκοσιν ἐτῶν.

διαβατὸν εἶναι ἐποίησε, ὑπονοστήσαντος τοῦ ποταμοῦ· γενομένου δὲ τούτου τοιούτου, οἱ Πέρσαι οἵ περ ἐτετάχατο ἐπ' αὐτῷ τούτῳ κατὰ τὸ ῥέεθρον τοῦ Εὐφρήτεω ποταμοῦ, ὑπονενοστηκότος ἀνδρὶ ὡς ἐς μέσον μηρὸν μάλιστά κη, κατὰ τοῦτο ἐσήεσαν ἐς τὴν Βαβυλῶνα. Εἰ μέν νυν προεπύθοντο ἢ ἔμαθον οἱ Βαβυλώνιοι τὸ ἐκ τοῦ Κύρου ποιεύμενον, οὐδ' ἂν περιϊδόντες τοὺς Πέρσας ἐσελθεῖν ἐς τὴν πόλιν, διέφθειραν κάκιστα· κατακληΐσαντες γὰρ ἂν πάσας τὰς ἐς τὸν ποταμὸν πυλίδας ἐχούσας, καὶ αὐτοὶ ἐπὶ τὰς αἱμασιὰς ἀναβάντες τὰς παρὰ τὰ χείλεα τοῦ ποταμοῦ ἐληλαμένας, ἔλαβον ἄν σφεας ὡς ἐν κύρτῃ· νῦν δὲ ἐξ ἀπροσδοκήτου σφι παρέστησαν οἱ Πέρσαι· ὑπὸ δὲ μεγάθεος τῆς πόλιος, ὡς λέγεται ὑπὸ τῶν ταύτῃ οἰκημένων, τῶν περὶ τὰ ἔσχατα τῆς πόλιος ἑαλωκότων, τοὺς [y] τὸ μέσον οἰκέοντας τῶν Βαβυλωνίων, οὐ μανθάνειν ἑαλωκότας, ἀλλὰ ([z] τυχεῖν γάρ σφι ἐοῦσαν ὁρτὴν) χορεύειν τε τοῦτον τὸν χρόνον, καὶ ἐν εὐπαθείῃσι εἶναι· ἐς ὃ δὴ καὶ τὸ κάρτα ἐπύθοντο· καὶ Βαβυλὼν μὲν οὕτω τότε [a] πρῶτον ἀραίρητο. Ol. LX. 3. A. C. 538.

192 XLIX. Τὴν δὲ δύναμιν τῶν Βαβυλωνίων πολλοῖσι μὲν καὶ ἄλλοισι δηλώσω ὅση τίς ἐστι, ἐν δὲ δὴ καὶ τῷδε· βασιλεῖ τῷ μεγάλῳ ἐς τροφὴν αὐτοῦ τε καὶ τῆς στρατιῆς διαραίρηται, πάρεξ τοῦ φόρου, γῆ πᾶσα ὅσης ἄρχει· δυώδεκα ὦν μηνῶν ἐόντων ἐς τὸν ἐνιαυτὸν, τοὺς τέσσαρας μῆνας τρέφει μιν ἡ [b] Βαβυλωνίη χώρη, τοὺς δὲ ὀκτὼ τῶν Præstantia Babylonis.

[y] Cf. Jerem. li. 31. et seqq.

[z] Cf. Dan. v.

[a] A Persis sc. postea, Dario duce, secunda vice capta. Cf. iii. 159.

[b] Strab. xvi. 739. περιέχεται δ' ἡ χώρα τῶν Βαβυλωνίων, ἀπὸ μὲν τῆς ἠοῦς, ὑπό τε Σουσίων καὶ Ἐλυμαίων καὶ Παραιτακηνῶν· ἀπὸ δὲ τῆς μεσημβρίας, ὑπὸ τοῦ Περσικοῦ κόλπου, καὶ τῶν Χαλδαίων, μέ-

μηνῶν ἡ λοιπὴ πᾶσα Ἀσίη· οὕτω τριτημοιρίη χώρη τῇ δυνάμει τῆς ἄλλης Ἀσίης. Καὶ ἡ ἀρχὴ τῆς χώρης ταύτης, τὴν οἱ Πέρσαι Σατραπηΐην καλέουσι, ἔστι ἁπασέων τῶν ἀρχέων πολλόν τι κρατίστη, ὅκου Τριτανταίχμῃ τῷ Ἀρταβάζου ἐκ βασιλέως ἔχοντι τὸν νόμον τοῦτον, ἀργυρίου μὲν προσῄει ἑκάστης ἡμέρης ἀρτάβη μεστή· ἡ δὲ ἀρτάβη, μέτρον ἐὸν Περσικὸν, χωρέει μεδίμνου Ἀττικῆς πλεῖον χοίνιξι τρισὶ Ἀττικῇσι· ἵπποι δέ οἱ αὐτοῦ ἦσαν ἰδίῃ, πάρεξ τῶν [c] πολεμιστέων, οἱ μὲν ἀναβαίνοντες τὰς θηλέας, ὀκτακόσιοι· αἱ δὲ βαινόμεναι, ἑξακισχίλιαι καὶ μύριαι· ἀνέβαινε γὰρ ἕκαστος τῶν ἐρσένων τούτων εἴκοσι ἵππους· κυνῶν δὲ [d] Ἰνδικῶν τοσοῦτον δή τι πλῆθος ἐτρέφετο, ὥστε τέσσαρες τῶν ἐν τῷ πεδίῳ κῶμαι μεγάλαι, τῶν ἄλλων ἐοῦσαι ἀτελέες, τοῖσι κυσὶ προσετετάχατο σιτία παρέχειν· τοιαῦτα μὲν τῷ ἄρχοντι τῆς Βαβυλῶνος ὑπῆρχε ἐόντα. Ἡ δὲ γῆ τῶν Ἀσσυρίων ὕεται μὲν 193
[e] ὀλίγῳ, καὶ τὸ ἐκτρέφον τὴν ῥίζαν τοῦ σίτου, ἐστὶ τοῦτο· ἀρδόμενον μέντοι ἐκ τοῦ ποταμοῦ ἀδρύνεταί τε τὸ λήϊον,

Tritantæchmas præses Babylonis.

χρις Ἀράβων τῶν Ἀλεσηνῶν· ἀπὸ δὲ ἑσπέρας ὑπό τε Ἀράβων τῶν Σκηνιτῶν μέχρι τῆς Ἀδιαβηνῆς, καὶ τῆς Γορδυαίας· ἀπὸ δὲ τῶν ἄρκτων ὑπό τε Ἀρμενίων καὶ Μήδων, μέχρι τοῦ Ζάγρου, καὶ τῶν περὶ αὐτὸ ἐθνῶν. Διαῤῥεῖται δ' ὑπὸ πλειόνων μὲν ποταμῶν ἡ χώρα, μεγίστων δὲ τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγριος· μετὰ γὰρ τοὺς Ἰνδικοὺς οὗτοι λέγονται δευτερεύειν, κατὰ τὰ νότια μέρη τῆς Ἀσίας, οἱ ποταμοί.

[c] Ita de Bucephalo Alexandri Strab. xv. 698. πολεμιστὴς ἀγαθός. Cf. Diod. ii. 41. ἵπποι πολεμισταί. Et Virg. Geor. ii. 145. et Æn. xi. 89.—*bellator equus*.—vid. etiam Æn. x. 891.

[d] Εἰσὶ γὰρ (κύνες Ἰνδικαὶ sc.) ἰσχυραὶ, μεγάλαι, ποδώκεις, οὐκ ἄψυχοι· ἔχουσαι δὲ ταῦτα, ἱκαναὶ γίγνονται πονεῖν. Xen. Κυνηγ. 9. φασὶ δὲ (inquit Aristot. Hist. Anim. viii. 28.) καὶ ἐκ τοῦ τίγριος καὶ κυνὸς γίνεσθαι τοὺς Ἰνδικούς. Cf. et Generat. Anim. ii. 7. Diodor Sic. xvii. 92. et Ælian. Hist. Anim. viii. 1.

[e] Itaque in ædificiorum tectis, inquit Strabo xvi. 739. Babylonii κεράμῳ οὐ χρῶνται, οὐδὲ γὰρ κατομβροῦνται.

καὶ παραγίνεται ὁ σῖτος, οὐ καλάπερ ἐν Αἰγύπτῳ, αὐτῆ τῆ πολαμῆ ἀναβαίνοντος ἐς τὰς ἀρόσας, ἀλλὰ χερσί τε καὶ κηλωνηΐοισι ἀρδόμενος· ἡ γὰρ Βαβυλωνίη χώρη πᾶσα, καλάπερ ἡ Αἰγυπτίη, καλατέτμηται ἐς διώρυχας· καὶ ἡ μεγίστη τῶν διωρύχων ἐστὶ νηυσὶ περητὸς, πρὸς ἥλιον τεταραμμένη τὸν χειμερινόν· ἐσέχει δὲ ἐς ἄλλον ποταμὸν ἐκ τῆ Εὐφρήτεω, ἐς τὸν Τίγριν, παρ' ὃν [f] Νῖνος πόλις οἴκητο. Ἔστι δὲ χωρέων αὕτη ἁπασέων μακρῷ ἀρίστη, τῶν ἡμεῖς ἴδμεν, Δήμητρος καρπὸν ἐκφέρειν· τὰ γὰρ δὴ ἄλλα δένδρεα οὐδὲ πειρᾶται ἀρχὴν [g] φέρειν, ἔτε συκέλεω, ἔτε ἄμπελον, ἔτε ἐλαίλεω· τὸν δὲ τῆς Δήμητρος [h] καρπὸν ὧδε ἀγαθὴ ἐκφέρειν ἐστὶ, ὥστε ἐπὶ δηκόσια μὲν τοπαράπαν ἀποδιδοῖ· ἐπειδὰν [i] ἄριστα αὐτὴ ἑωυτῆς ἐνείκῃ, ἐπὶ τριηκόσια ἐκφέρει· τὰ δὲ φύλλα αὐτόθι τῶν τε πυρῶν καὶ τῶν κριθέων τὸ πλάτος γίνεται τεσσάρων δακτύλων· ἐκ δὲ κέγχρυ καὶ σησάμυ ὅσον τι δένδρον μέγαθος γίνεται, ἐξεπισάμηνος, μνήμιον δ' ποιήσομαι, εὖ εἰδὼς ὅτι τοῖσι μὴ ἀπιγμένοισι ἐς τὴν

[f] Male Diodorus Siculus, (ii. 3. et 7.) Cteſiam ſecutus, Ninum ad Euphratem locat.

[g] Ita Strabo (xvi. 739.) de Babylonia; διὰ δὲ τὴν τῆς ὕλης σπάνιν ἐκ φοινίκων ξύλων αἱ οἰκοδομαὶ συνίστανται—ψιλὴ γὰρ ἡ χώρα, καὶ θαμνώδης ἡ πολλὴ, πλὴν φοίνικος.

[h] Hom. Il. Ν'. 322. Ὅς θνητός τ' εἴη, καὶ ἔδοι Δημήτερος ἀκλήν. vid. et Il. Φ'. 76. Cæterum de agri Babylonii fertilitate eadem fere tradidit Strabo, xvi. 742. ἡ δὲ χώρα φέρει κριθὰς μὲν ὅσας οὐκ ἄλλη· καὶ γὰρ τριακοσάχια λέγουσι. Quæ tamen, ut recte monet Cl. Michaelis (*Queſtions propoſées à une Société de Savans*. xiii.) videntur fidem omnem ſuperare, niſi fortaſſe ipſa ſeminationis ratio a noſtra diverſa fuerit.

[i] Sic 203. huj. τῇ εὐρυλάτῃ ἐστὶ αὐτὴ ἑωυτῆς. et ii. 149. τῇ βαθυλάτῃ αὐτὴ ἑωυτῆς. Hippocrat. de aër. aq. et loc. xiv. ταῦτα μὲν ἄριστα αὐτὰ ἑωυτέων ἐστιν. Arrian. Ind. 529. ἵναπερ μακροτάτη αὐτὴ ἑωυτῆς ᾖκισαι. Eurip. Fragm. p. 549. Antiop. xxxiv. Ἵν' αὐτὸς αὐτῷ τυγχάνῃ βέλτιστος ὤν.

Βαβυλωνίῃ χώρην, καὶ τὰ ἐρημώματα καρπῶν [k] ἐχόμενα, ἐς ἀπιξίην πολλὴν ἀπῖκται· χρέωνται δὲ οὐδὲν ἐλαίῳ, ἀλλ' ἐκ τῶν σησάμων ποιεῦνται. Εἰσὶ δέ σφι φοίνικες πεφυκότες ἀνὰ πᾶν τὸ πεδίον, οἱ πλεῦνες αὐτέων καρποφόροι· ἐκ τῶν καὶ σιτία καὶ οἶνον καὶ μέλι [l] ποιεῦνται· τὰς συκέων τρόπον θεραπεύσι τά τε ἄλλα, καὶ φοινίκων, τὰς ἔρσενας Ἕλληνες καλέουσι, [m] τοῦτον τὸν καρπὸν πεδέουσι τῇσι βαλανηφόροισι τῶν φοινίκων, ἵνα πεπαίνηται σφι ὁ ψὴν τὴν βάλανον ἐσδύνων, καὶ μὴ ἀποῤῥέῃ ὁ καρπὸς ὁ τῆ φοίνικος· ψῆνας γὰρ δὴ φορέουσι ἐν τῷ καρπῷ οἱ ἔρσενες, καθάπερ δὴ οἱ ὄλυνθοι. Τὸ 194
δὲ ἀπάντων θῶυμα μέγιστόν μοί ἐστι τῶν ταύτῃ, μετά γε τὴν πόλιν αὐτὴν, ἔρχομαι Φράσων. Τὰ πλοῖα αὐτοῖσι ἐστὶ τὰ κατὰ τὸν ποταμὸν πορδόμενα ἐς τὴν Βαβυλῶνα εὐρέα κυκλοτερέα, πάντα σκύτινα· ἐπεὰν γὰρ ἐν τοῖσι Ἀρμενίοισι τοῖσι καταύπερθε Ἀσσυρίων οἰκημένοισι νομέας [n] ἰτέης ταμόμενοι ποιήσωνται, περιτείνουσι τούτοισι

[k] Vid. ad 120. huj.

[l] Strab. xvi. 742. Τὰ δὲ ἄλλα ἐκ τοῦ φοίνικος παρέχονται· καὶ γὰρ ἄρτον, καὶ οἶνον, καὶ ὄξος, καὶ μίλι, καὶ ἄλφιτα, τά τε πλεκτὰ πάντοῖα ἐκ τούτου· τοῖς δὲ πυρῆσιν ἀντ' ἀνθράκων οἱ χαλκεῖς χρῶνται· βρεχόμενοι δὲ τοῖς σιτιζομένοις εἰς τροφὴν βοσὶ, καὶ προβάτοις. Φασὶ δ' εἶναι καὶ Περσικὴν ᾠδὴν, ἐν ᾗ τὰς ὠφελείας τοῦ φοίνικος τριακοσίας καὶ ἑξήκοντα ἀριθμεῦνται· ἐλαίῳ δὲ χρῶνται τῷ σησαμίνῳ τὸ πλέον.

[m] Τούτων rescribit, et mox πεπαίνῃ τέ σφι, Salmasius, in Solin. 938. recte omnino: quod ad cætera attinet, vide Plin. N. H. xv. 19. Theophrast. Hist. Plant. ii. 8. et Tournefort, Voyage du Levant, Lett. viii. p. 338.

[n] Hesych. νομίας, ξύλα περιφερῆ, καὶ τῶν πλοίων τὰ ἐγκοιλια. Quod vero ad ipsius navigii formam attinet, non alia esse videtur quam qua olim usi sunt Britanni, Germani, et aliæ fere omnes gentes sub primis rei nauticæ initiis. *Vitilia navigia coriis circumsuta*, ea appellat Plinius, N. H. iv. 16. quæ et nunc quoque etiam in Sabrina, et cæteris Cambriæ fluviis passim aspicias. Bene et accurate

διφθέρας ςεγανρίδας ἔξωθεν, ἐδάφεος τρόπον, οὔτε πρύμνην ἀποκρίνουσες, οὔτε πρώρην σιωάγουσες, ἀλλ' ἀσπίδος τρόπον κυκλοτερέα ποιήσασες, καὶ καλάμης πλήσασες πᾶν τὸ πλοῖον τοῦτο, ἀπάσι καλὰ τὸν ποταμὸν φέρεσθαι, φορτίων πλήσασες· μάλιςα δὲ βίκας Φοινικηΐας ° καλάγασι οἴνα πλέας· ἰθύνεται δὲ ὑπό τε δύο πληκτρων, καὶ δύο ἀνδρῶν ὀρθῶν ἑςεώτων· καὶ ὁ μὲν ἔσω ἕλκει τὸ πληκτρον, ὁ δὲ ἔξω ὠθέει· ποιέεται δὲ καὶ κάρτα μεγάλα ταῦτα τὰ πλοῖα, καὶ ἐλάσσω· τὰ δὲ μέγιςα αὐτέων, καὶ πεντακισχιλίων ταλάντων γόμον ἔχει· ἐν ἑκάςῳ δὲ πλοίῳ ὄνος ζωὸς ἔνεςι, ἐν δὲ τοῖσι μέζοσι πλείονες· ἐπεὰν ὦν ἀπίκωνται πλέοντες ἐς τὴν Βαβυλῶνα, καὶ [p] διφθέωνται τὸν φόρτον, νομέας μὲν τοῦ πλοίου καὶ τὴν καλάμην πᾶσαν ἀπεκήρυξαν· τὰς δὲ διφθέρας ἐπισάξαντες ἐπὶ τοὺς ὄνους, ἀπελαύνουσι ἐς τὰς Ἀρμενίας· ἀνὰ τὸν ποταμὸν γὰρ δὴ οὐκ οἵά τε ἐςὶ πλέειν ἀδενὶ τρόπῳ, ὑπὸ τάχεος τοῦ ποταμοῦ· διὰ γὰρ ταῦτα καὶ οὐκ ἐκ ξύλων ποιεῦνται τὰ πλοῖα, ἀλλ' ἐκ διφθερέων· ἐπεὰν δὲ τοὺς ὄνους ἐλαύνοντες ἀπίκωνται ὀπίσω ἐς τὰς Ἀρμενίας, ἄλλα τρόπῳ τῷ αὐτῷ ποιεῦνται

194

Lucanus Pharſ. iv. 131. *Primum cana ſalix madefacto vimine parvam Texitur in puppim, cæſoque inducta juvenco Vectoris patiens tumidum ſuperenatat amnem. Sic Venetus ſtagnante Pado, fuſoque Britannus Navigat Oceano; ſic cum tenet omnia Nilus, Conſeritur bibula Memphitis cymba papyro.* Nec multum ſane abludit hodierna apud Babylonios in Tigri et Euphrate fluviis navigii forma, *Kellea* dicta, niſi quod utres etiam inflatos ipſi rati ſubjiciunt: cf. Niebuhr, ii. 287. Tavernier Voy. de Perſe, ii. 5. p. 177. et 6. p. 203. Pietro della Valle, t. i. p. 388.

° Φοινικηΐα· Valla: certiſſime. vid. ſupr. 193. et ita, φοινικήϊος οἶνος. ii. 86. iii. 20. quem Xenophon, (K. A. i. 5.) οἶνον ἐκ τῆς βαλάνου πεποιημένον τῆς ἀπὸ τοῦ φοίνικος, appellat.

[p] Vid. ad i. huj. not. d.

πλοῖα. Τὰ μὲν δὴ πλοῖα αὐτοῖσι ἐσὶ τοιαῦτα. Ἐσθῆτι 195
δὲ τοιῇδε χρέωνλαι· κιθῶνι ποδηνεκεῖ λινέῳ· καὶ ἐπὶ τοῦ-
τον ἄλλον εἰρινέον κιθῶνα ἐπενδύνει, καὶ χλανίδιον λευ-
κὸν περιβαλλόμενοι, ὑποδήματα ἔχνσι ἐπιχώρια, παε-
απλήσια τῆσι Βοιωλίῃσι ἐμβάσι· κομῶνλες δὲ τὰς κε-
φαλὰς, μίτρῃσι ἀναδέονλαι, μεμυρισμένοι πᾶν τὸ σῶμα·
σφρηγῖδα δ' ἕκασος ἔχει, καὶ σκῆπτρον χειροποίητον· ἐπ'
ἑκάσῳ δὲ σκήπτρῳ ἔπεσι πεποιημένον ἢ μῆλον, ἢ ῥόδον,
ἢ κρίνον, ἢ αἰετὸς, ἢ ἄλλο τι· ἄνευ γὰρ ἐπισήμου οὐ σφι
νόμος ἐσὶ ἔχειν σκῆπτρον. Αὕτη μὲν δὴ σφι ἄρλισις περὶ
τὸ σῶμά ἐσι. Νόμοι δὲ[q] αὐτοῖσι ὧδε καλεσέαλαι· ὁ 196
Leges Babylonicæ.
μὲν σοφώλαλος ὅδε, καλὰ γνώμλιν τὴν ἡμελέρλιν· τῷ καὶ
Ἰλλυριῶν Ἐνελὸς πιθανόμῳ χρῆναι· καλὰ κώμας ἑ-
κάσας ἅπαξ τοῦ ἔλεος ἑκάσου ἐπιέελο τάδε· ὡς ἂν αἱ
παρθένοι γνοίαλο γάμων ὡραίαι, ταύτας ὅκως συναγά-
γοιεν πάσας, ἐς ἓν χωρίον ἐσάγεσκον ἀλέας· πέριξ δὲ
αὐτὰς ἵσαλο ὅμιλος ἀνδρῶν· ἀνιςὰς δὲ καλὰ μίλιν ἑ-
κάσλιν κήρυξ πωλέεσκε, πρῶτα μὲν τὴν ὠνιδεςάλιν ἐκ 197
πασέων· μελὰ δὲ, ὅκως αὐτὴ ὠροῦσα πολλὸν χρυσίον πε-
θείη, ἄλλην ἀνεκήρυσε, ἢ μεθ' ἑκείνην ἔσκε ὠνιδεςάτη·
ἐπωλέοντο δὲ ἐπὶ συνοικήσι· ὅσοι μὲν δὴ ἔσκον ὐδαίμονες
τῶν Βαβυλωνίων ἐπίγαμοι, ὑπερβάλλονλες ἀλλήλους ἐξω-
νέοντο τὰς καλλιςώσας· ὅσοι δὲ τοῦ δήμου ἔσκον ἐπί-
γαμοι, [r] οὗτοι δὲ εἴδεος μὲν οὐδὲν ἐδέοντο χρηςοῦ, οἷ δ' ἂν
χρήματά τε καὶ αἰσχίονας παρθένους ἐλάμβανον· ὡς γὰρ
δή οἱ ἐξέλθοι[s] ὁ κήρυξ πωλέων τὰς ὠνιδεςάτας τῶν

198

[q] Hæc fere omnia uſque ad 201. ex Herodoto deſcripſit Strabo, xvi. 745.

[r] Οἱ δὴ εἴδεος μὲν ο. ε. χ. ἔτοι αὖ· ex conjectura Valkenaerii.

[s] Ὡς γὰρ διεξέλθοι· ex conjectura Reiſkii, et Bergleri.

παρθένων, ἀνίσῃ ἂν τιὼ ἀμορφεσάτην, ἢ εἴ τις αὐτέων ἔμπηρος ἦε, καὶ ταύτην ἀνεκήρυσσε, ὅσις θέλοι ἐλάχιστον χρυσίον λαβών, συνοικέειν αὐτῇ· ἐς ὃ τῷ τὸ ἐλάχιστον ὑπισαμένῳ προσέκειτο· τὸ δὲ ἂν χρυσίον ἐγίνετο ἀπὸ τῶν ἀμορφέων παρθένων· καὶ οὕτω αἱ εὔμορφοι τὰς ἀμόρφους καὶ ἐμπήρους ἐξεδίδοσαν. Ἐκδοῦναι δὲ τιὼ ἑωυτῶν θυγατέρα ὅτεῳ βούλοιτο Ἕκαστος, οὐκ ἐξῆν, οὐδὲ ἄνδρα ἐγγυητέων ἀπαγαγέσθαι τὴν παρθένον πριάμενον, ἀλλ' ἐγγυητὰς χρῆν καταστήσαντα, ἢ μὴν συνοικήσειν αὐτῇ, ὕτω ἀπάγεσθαι· εἰ δὲ μὴ συμφεροίατο, ἀποφέρειν τὸ χρυσίον ἔκειτο νόμος. Ἐξῆν δὲ καὶ ἐξ ἄλλης ἐλθόντα κώμης τὸν βουλόμενον ὠνέεσθαι. Ὁ μέν νυν κάλλιστος νόμος, οὗτός σφι ἦν· οὐ μούνοι νῦν γε διατελέσασι ἐών· ἄλλο δέ τι ἐξεύρήκασι νεωστὶ γενέσθαι, ἵνα μὴ ἀδικοῖεν αὐτὰς, μηδ' ἐς ἑτέρην πόλιν ἄγωνται· ἐπεί τε γὰρ ἁλόντες κακώθησαν καὶ οἰκοφθορήθησαν, πᾶς τις τῷ δήμῳ βίῳ πανίζων καταπρήσσει τὰ θήλεα τέκνα. Δεύτερος δὲ σοφίῃ ὅδε ἄλλος 197
σφι νόμος κατεστήκεε· τοὺς κάμνοντας ἐς τὴν ἀγορὴν ἐκφορέουσι· οὐ γὰρ δὴ χρέωνται ἰητροῖσι· προσιόντες ὦν πρὸς τὸν κάμνοντα, συμβουλεύουσι περὶ τῆς νούσου, εἴ τις καὶ αὐτὸς τοιοῦτον ἔπαθε, οἷοιον ἂν ἔχοι ὁ κάμνων, ἢ ἄλλον εἶδε παθόντα· ταῦτα προσιόντες συμβουλεύουσι, καὶ παραινέουσι ἅσσα αὐτὸς ποιήσας ἐξέφυγε ὁμοίῳ νοῦσον, ἢ ἄλλον εἶδε ἐκφυγόντα· σιγῇ δὲ παρεξελθεῖν τὸν κάμνοντα οὐ σφι ἔξεστι, πρὶν ἂν ἐπείρηται ἥντινα νοῦσον ἔχῃ. Ταφαὶ δὲ σφι ἐν μέλιτι· [t] θρῆνοι δὲ καὶ παραπλήσιοι 198
τοῖσι ἐν Αἰγύπτῳ. Ὁσάκις δ' ἂν μιχθῇ γυναικὶ τῇ

[t] Vid. ad ii. 85, 86.

ἑωϋτοῦ ἀνὴρ Βαβυλώνιος, περὶ θυμίημα καλαγιζόμενον
ἵζει, ἐπέρωθι δὲ ἡ γυνὴ τὠϋτὸ τοῦτο ποιέει· ὄρθρου δὲ
γλυκέος, λοῦνται καὶ ἀμφότεροι· ἄγγεος γὰρ ὑδενὸς
ἅψονται πρὶν ἂν λύσωνται. Ταῦτα δὲ ταῦτα καὶ Ἀράβιοι
Cultus Veneris nefandus. ποιεῦσι. Ὁ δὲ δὴ αἴσχιστος τῶν νόμων ἐστὶ τοῖσι Βαβυ- 199
λωνίοισι ὅδε· δεῖ πᾶσαν γυναῖκα ἐπιχωρίων ἱζομένην
ἐς ἱρὸν Ἀφροδίτης, ἅπαξ ἐν τῇ ζόῃ μιχθῆναι ἀνδρὶ ξείνῳ·
πολλαὶ δὲ καὶ οὐκ ἀξιεύμεναι ἀναμίσγεσθαι τῇσι ἄλλῃσι,
οἷα πλούτῳ ὑπερφρονέουσαι, ἐπὶ ζευγέων ἐν καμάρῃσι
ἐλάσασαι, πρὸς τὸ ἱρὸν ἑρπάσι· θεραπηίη δέ σφι
ἔπεται πολλὴ ὄπισθεν· αἱ δὲ πλεῦνες ποιεῦσιν ὧδε· ἐν
τεμένεϊ Ἀφροδίτης καλέαι στέφανον περὶ τῇσι κεφα-
λῇσι ἔχουσαι [u] θώμιγγος πολλαὶ γυναῖκες· αἱ μὲν γὰρ
παρέρχονται, αἱ δὲ ἀπέρχονται· χοινοληνέες δὲ διέξοδοι
πάντα τρόπον ὁδὸν ἔχουσι διὰ τῶν γυναικῶν, δι' ὧν οἱ
ξεῖνοι διεξιόντες ἐκλέγονται· ἔνθα ἐπεὰν ἵζηται γυνὴ, οὐ
πρότερον ἀπαλλάσσεται ἐς τὰ οἰκία, ἢ τίς οἱ ξείνων ἀρ-
γύριον ἐμβαλὼν ἐς τὰ γούνατα, μιχθῇ ἔξω τοῦ ἱροῦ· ἐμ-
βαλόντα δὲ δεῖ εἰπεῖν τοσόνδε· "Ἐπικαλέω τοι τὴν
Mylitta. "θεὸν Μύλιτταν·" (Μύλιττα δὲ καλέουσι τὴν Ἀφρο-
δίτην Ἀσσύριοι·) τὸ δὲ ἀργύριον, μεγάθεός ἐστι ὁκοσονοῦν· οὐ
γὰρ μὴ ἀπώσηται· οὐ γάρ οἱ θέμις ἐστί· [x] γίνεται γὰρ
ἱρὸν τοῦτο τὸ ἀργύριον· τῷ δὲ πρώτῳ ἐμβαλόντι ἕπεται,
οὐδὲ ἀποδοκιμᾷ οὐδένα· ἐπεὰν δὲ μιχθῇ, ἀποσιωσαμένη
τῇ θεῷ, ἀπαλλάσσεται ἐς τὰ οἰκία· καὶ τὼ ἀπὸ τούτου
οὐκ ὅτω μέγα τί οἱ δώσεις ὥς μιν λάμψεαι. Ὁκόσαι μέν
νυν εἶδός τε ἐπαμμέναι [y] εἰσὶ καὶ μεγάθεος, ταχὺ ἀπαλ-

[u] Cf. Epiſt. Jerem. 43.
[x] Cf. Deut. xxiii. 18.
[y] Vid. viii. 105.

λάσσονται, ὅσαι δὲ ἄμορφοι αὐτέων εἰσὶ, χρόνον πολλὸν προσμένουσι, οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι· καὶ γὰρ τριέτεα καὶ τετραέτεα μετεξέτεραι χρόνον μένουσι. Ἐνιαχῆ δὲ
200 καὶ τῆς Κύπρου ἐστὶ παραπλήσιος τούτῳ νόμος. Νόμοι μὲν δὴ τοῖσι Βαβυλωνίοισι οὗτοι κατεστέασι. Εἰσὶ δὲ αὐτέων πατριαὶ τρεῖς, αἳ οὐδὲν ἄλλο σιτέονται εἰ μὴ ἰχθῦς μοῦνον· τοὺς ἐπεί τε ἂν θηρεύσαντες αὐήνωσι πρὸς ἥλιον, ποιεῦσι τάδε· ἐσβάλλουσι ἐς ὅλμον, καὶ λεήναντες ὑπέροισι, σῶσι[z] διὰ σινδόνος· καὶ ὃς μὲν ἂν βούληται αὐτέων, ἅτε μάζαν μαξάμενος ἔχει· ὁ δὲ, ἄρτου τρόπον ὀπτήσας.

201 L. Ὡς δὲ τῷ Κύρῳ καὶ τοῦτο τὸ ἔθνος κατέργαστο, ἐπεθύμησε Μασσαγέτας ὑπ' ἑωϋτῷ ποιήσασθαι. Τὸ δὲ ἔθνος τοῦτο, καὶ μέγα λέγεται εἶναι καὶ ἄλκιμον, οἰκημένον δὲ πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς, πέρην τοῦ Ἀράξεω ποταμοῦ, ἀντίον δὲ [a] Ἰσσηδόνων ἀνδρῶν· εἰσὶ δὲ οἵ
202 τινες καὶ Σκυθικὸν λέγουσι τοῦτο τὸ ἔθνος εἶναι. Ὁ δὲ Ἀράξης[b] λέγεται καὶ μέζων καὶ ἐλάσσων εἶναι τοῦ Ἴστρου· νήσους δ' ἐν αὐτῷ Λέσβῳ μεγάθεα παραπλησίας συχνάς φασι εἶναι· ἐν δὲ αὐτῇσι ἀνθρώπους, οἳ σιτέονται μὲν ῥίζας τὸ θέρος ὀρύσσοντες παντοίας· καρποὺς δὲ ἀπὸ δενδρέων ἐξευρημένους σφι ἐς φορβὴν κατατίθεσθαι ὡραίους, καὶ τούτους σιτέεσθαι τὴν χειμερινήν· ἄλλα δέ σφι ἐξευ-

Massagetæ.

Araxis insulæ.

[z] *Incernunt per linteum*. Huc respiciens Etymol. Mag. in v. σήθω, Ἡρόδοτος, inquit, τοῦ σῶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν σῶσιν, ἀντὶ τοῦ σήθουσι. Reperiuntur et νῶσιν, ἀντὶ τοῦ νήθουσιν, et alia hujus generis apud Atticos plurima. Valken.

[a] Cf. iv. 26.

[b] De Araxe fluvio et Massagetis vid. ad iv. 11, 12. Hic satis sit notare Herodotum ex fama tantum et rumoribus aliorum Araxem sibi cognitum habuisse, neque in eo argumento satis accurate versari. Videtur revera de Volga fl. loqui, quem falso Araxem nominat, ut recte monet Bayerus, Com. Acad. Petrop. t. i. p. 394.

ῥηθαι δένδρεα καρπὸς τοιούσδε τινὰς φέροντα, τοὺς, ἐπεί τε ἂν ἐς τώϋτὸ συνέλθωσι καλὰ εἴλας, καὶ ὧν ἀναχαύσωνται, κύκλῳ περιίζομένους ἐπιβάλλειν ἐπὶ τὸ πῦρ· ὀσφραινομένους δὲ καταιζομένου τοῦ καρποῦ [c]τοῦ ἐπιβαλλομένου, μεθύσκεσθαι τῇ ὀδμῇ, καὶ ἅπερ Ἕλληνας τῷ οἴνῳ, τοσοῦνος δὲ ἐπιβαλλομένου τοῦ καρποῦ, μᾶλλον μεθύσκεσθαι· ἐς ὃ ἐς ὄρχησίν τε ἀνίστασθαι, καὶ ἐς ἀοιδὴν ἀπικνέεσθαι· τούτων μὲν αὐτη λέγεται διαιτα εἶναι. Ὁ δὲ Matieni. Ἀράξης ποταμὸς ῥέει μὲν ἐκ Ματιηνῶν, ὅθενπερ ὁ Γύνδης, τὸν ἐς τὰς διώρυχας τὰς ἑξήκοντά τε καὶ τριηκοσίας διέλαβε ὁ Κῦρος· σόμασι δὲ ἐξερεύγεται τεσσαράκοντα, τῶν τὰ πάντα πλὴν ἑνὸς, ἐς ἕλεά τε καὶ τενάγεα ἐκδιδοῖ· ἐν τοῖσι ἀνθρώπους καταικεῖσθαι λέγουσι ἰχθῦς ὠμοὺς σιτεομένους, ἐσθῆτι δὲ νομίζοντας χρᾶσθαι φωκέων δέρμασι· τὸ δὲ ἓν τῶν σομάτων τοῦ Ἀράξεω ῥέει διὰ καθαροῦ ἐς τὴν Κασπίην θάλασσαν. Ἡ δὲ Κασπίη [d]θάλασσά ἐστι ἐπ' ἑωυτῆς, οὐ συμμίσγουσα τῇ ἑτέρῃ θαλάσσῃ· πλοὺς μὲν γὰρ Ἕλλησι ναυτιλλόμενα πᾶσιν, καὶ ἡ ἔξω στηλέων θάλασσα ἡ Ἀτλαντὶς καλεομένη, καὶ ἡ Ἐρυθρὴ, μία τυγχάνει ἐοῦσα, ἡ δὲ Κασπίη ἐστὶ ἑτέρη ἐπ' ἑωυτῆς, 203
Mare Caspium. ἐοῦσι μῆκος μὲν πλόος, εἰρεσίῃ χρεωμένῳ, πενταικαίδεκα ἡμερέων, εὖρος δὲ, τῇ εὐρυτάτη ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ἡμερέων· 205 τὰ μὲν πρὸς τὴν ἑτέρην φέρονται τῆς θα-

[c] Cf. iv. 75.

[d] Sciunt jam omnes de mari Caſpio Herodotum vere et accurate loqui; neque aliter Ariſtoteles Meteorol. ii. 1. et Diodor. xviii. 5. quo magis mirum ſit Strabonem in aliam ſententiam abiiſſe, et Patroclis auctoritate fretum, qui ſe Alexandri magni commentarios a Xenocle gazæ regiæ præfecto accepiſſe aiebat, Caſpium mare pro ſinu Oceani Septentrionalis habuiſſe. Vid. Strab. ii. 69. et xi. 507.

λάσσης ταύτης ὁ Καύκασος παραλείνει, ἐὼν ὀρέων καὶ Cauc
πλήθει[e] μέγιστον, καὶ μεγάθεϊ ὑψηλότατον· ἔθνεα δὲ
ἀνθρώπων πολλὰ καὶ παντοῖα ἐν ἑωυτῷ ἔχει ὁ Καύ-
κασος· τὰ [f] πολλὰ πάλα ἀπ' ὕλης ἀγρίης ζώοντα· ἐν
τοῖσι καὶ δένδρεα φύλλα τοιῆσδε ἰδέης παρεχόμενα εἶναι
λέγεται, τὰ τερέβινθός τε καὶ παραμίσγουλας ὕδωρ, ζῶα
ἑωυτοῖσι ἐς τὴν ἐσθῆτα ἐγγράφειν· τὰ δὲ ζῶα οὐκ ἐκ-
πλύνεσθαι, ἀλλὰ συγκαλαγηράσκειν τῷ ἄλλῳ εἰρίῳ,
καλάπερ ἐνυφανθέντα ἀρχήν· μίξιν τε τούτων τῶν ἀν-
204 θρώπων εἶναι ἐμφανέα, καλάπερ τοῖσι προβάτοισι. Τὰ
μὲν δὴ πρὸς ἑσπέρεω τῆς θαλάσσης ταύτης τῆς Κασ-
πίης καλεομένης ὁ Καύκασος ἀπέργει· τὰ δὲ πρὸς ἠῶ
τε καὶ ἥλιον ἀνατέλλοντα, πεδίον ἐκδέκεται, πλῆθος
ἄπειρον ἐς ἄποψιν· τοῦ ὧν δὴ πεδίου τοῦ μεγάλου οὐκ
ἐλαχίστην μοίρεω μετέχουσι οἱ Μασσαγέται, ἐπ' οὓς ὁ Massageta-
Κῦρος ἔσχε προθυμίην στρατεύσασθαι· πολλά τε γάρ rum situs.
μιν καὶ μεγάλα τὰ ἐπαείροντα καὶ ἐπαρύνοντα ἦν· πρῶ-
τον μὲν ἡ γένεσις, τὸ δοκέειν πλέον τι εἶναι ἀνθρώπου·
δεύτερα δὲ, ἡ εὐτυχίη ἡ κατὰ τοὺς πολέμους γιομένη·
203 ὄκη γὰρ ἰθύσειε στρατεύεσθαι ὁ Κῦρος, ἀμήχανον ἦν ἐ-
κεῖνο τὸ ἔθνος διαφυγέειν.

205 LI. Ἦν δὲ τοῦ ἀνδρὸς ἀποθανόντος γυνὴ τῶν Μασ-
σαγετέων βασίλεια· Τόμυρις οἱ ἦν ὄνομα· ταύτην πέμ-
πων ὁ Κῦρος ἐμνᾶτο τῷ λόγῳ, θέλων γυναῖκα ἣν Cyri aftus.
ἔχειν· ἡ δὲ Τόμυρις σωφρονέουσα οὐκ αὐτὴν μιν μνώμενον,
ἀλλὰ τὴν Μασσαγετέων βασιληίδα, ἀπείπατο τὴν πρόσ-

[e] Ariſtot. Meteorol. i. 13. ὁ δὲ Καύκασος μέγιστον ὄρος τῶν πρὸς τὴν ἠῶ τὴν θερινὴν ἐστι καὶ πλήθει καὶ ὕψει. Notandum eſt utrobique πλῆθος pro μέγεθος uſurpari; ſic paulo infra πεδίον—πλῆθος ἄπειρον.

[f] Cf. ii. 35.

οδον. Κῦρος δὲ μετὰ τοῦτο, ὥς οἱ δόλῳ οὐ προεχώρεε, ἐλάσας ἐπὶ τὸν Ἀράξεα, ἐποιέετο ἐκ τοῦ ἐμφανέος ἐπὶ τοὺς Μασσαγέτας στρατηΐην, γεφύρας τε ζευγνύων ἐπὶ τοῦ ποταμοῦ διάβασιν τῷ στρατῷ, καὶ πύργους ἐπὶ πλοίων τῶν διαπορθμευόντων τὸν ποταμὸν οἰκοδομεόμενος. Ἔχοντι δέ οἱ τοῦτον τὸν πόνον, πέμψασα ἡ Τόμυρις 206
Dehortatio Tomyris. κήρυκα, ἔλεγε τάδε· "Ὦ βασιλεῦ Μήδων, παῦσαι "σπεύδων τὰ σπεύδεις· οὐ γὰρ ἂν εἰδείης εἴ τοι ἐς καιρὸν ἔσται ταῦτα τελεύμενα· παυσάμενος δὲ, βασίλευε τῶν σεωϋτοῦ, καὶ ἡμέας ἀνέχευ ὁρέων ἄρχοντας "τῶν περ ἄρχομεν· οὔκων ἐθελήσεις ὑποθήκῃσι τῇσίδε "χρέεσθαι, ἀλλὰ πάντως μᾶλλον ἢ δι' ἡσυχίης εἶναι; "σὺ δὲ ἢν μεγάλως προθυμέεαι Μασσαγετέων πειρηθῆναι, φέρε, μόχθον μὲν, τὸν ἔχεις ζευγνὺς τὸν "ποταμὸν, ἄφες· σὺ δὲ, ἡμέων ἀναχωρησάντων ἀπὸ "τοῦ ποταμοῦ τριῶν ἡμερέων ὁδὸν, διάβαινε ἐς τὴν ἡμετέρην· εἰ δ' ἡμέας βούλεαι ἐσδέξασθαι μᾶλλον ἐς τὴν "ὑμετέρην, σὺ τὠϋτὸ τοῦτο ποίεε." Ταῦτα δὲ ἀκούσας ὁ Κῦρος συνεκάλεσε Περσέων τοὺς πρώτους· συναγείρας δὲ τούτους, ἐς μέσον σφι προετίθεε τὸ πρῆγμα, συμβουλευόμενος ὁκότερα ποιέοι· τῶν δὲ κατὰ τὠϋτὸ αἱ γνῶμαι συνεξέπιπτον, κελευόντων ἐσδέκεσθαι Τόμυρίν τε καὶ τὸν στρατὸν αὐτῆς ἐς τὴν χώρην. Παρεὼν δὲ, καὶ μεμ- 207
φόμενος τὴν γνώμην ταύτην Κροῖσος ὁ Λυδὸς, ἀπεδείκνυτο ἐναντίην τῇ προκειμένῃ γνώμῃ, λέγων τάδε·
Consilium Crœsi. "Ὦ βασιλεῦ, εἶπον μὲν καὶ πρότερόν τοι, ὅτι ἐπεί με "Ζεὺς ἔδωκέ τοι, τὸ ἂν ὁρῶ σφάλμα ἐὸν οἴκῳ τῷ σῷ, "κατὰ δύναμιν ἀποτρέψειν· τὰ δέ μοι παθήματα τὰ "ἐόντα ἀχάριτα, μαθήματα γεγόνεε· εἰ μὲν ἀθάνατος "δοκέεις εἶναι, καὶ στρατιῆς τοιαύτης ἄρχειν, οὐδὲν ἂν εἴη

" πρῆγμα γνώμας ἐμέ σοι ἀποφαίνεσθαι· εἰ δ' ἔγνωκας
" ὅτι ἄνθρωπος καὶ σὺ εἶς, ⲥ ἑτέρων τοιῶνδε ἄρχεις,
" ἐκεῖνο πρῶτον μάθε, ὡς κύκλος τῶν ἀνθρωπηΐων ἐςὶ
" πρηγμάτων· περιφερόμενος δὲ, ὐκ ἐᾷ ἀεὶ τὺς αὐτὺς
" εὐτυχέειν· ἤδη ὦν ἐγὼ γνώμην ἔχω περὶ τοῦ προκει-
206 " μένυ πρήγματος τὰ ἔμπαλιν ἢ ὗτοι· εἰ γὰρ ἐθελή-
" σομεν ἐσδέξασθαι τὺς πολεμίυς ἐς τὴν χώρην, ὅδε τοι
" ἐν αὐτῷ κίνδυνος ἔνι· ἑσσωθεὶς μὲν, προσαπολλύεις
" πᾶσαν τὴν ἀρχήν· δῆλα γὰρ δὴ, ὅτι νικῶντες Μασ-
" σαγέται, οὐ τὸ ὀπίσω φεύξονται, ἀλλ' ἐπ' ἀρχὰς τὰς
" σὰς ἐλῶσι· νικῶν δὲ, ὐ νικᾷς τοσῦτον, ὅσον εἰ διαβὰς
" ἐς τὴν ἐκείνων, νικῶν Μασσαγέτας, ἕποιο φεύγυσι·
" τὠϋτὸ γὰρ ἀντιθήσω ἐκείνῳ, ὅτι νικήσας τὺς ἐναντιυ-
" μένυς ἐλᾷς ἰθὺς τῆς ἀρχῆς τῆς Τομύριος· χωρίς τε
" τοῦ ἀπηγημένυ, αἰσχρὸν καὶ ὐκ ἀνασχετὸν, τὸν Κῦρόν
" γε τὸν Καμβύσεω γυναικὶ εἴξαντα ὑποχωρῆσαι τῆς
" χώρης· νῦν ὦν μοι δοκέει, διαβάντας προελθεῖν ὅσον
" ἂν ἐκεῖνοι διεξίωσι· ἐνθεῦτεν δὲ τάδε ποιεῦντας, πει-
" ρᾶσθαι ἐκείνων περιγίνεσθαι· ὡς γὰρ ἐγὼ πυνθά-
" νομαι, Μασσαγέται εἰσὶ ἀγαθῶν τε Περσικῶν ἄπει-
" ροι, καὶ καλῶν μεγάλων ἀπαθέες· τύτοισι ὦν τοῖσι
" ἀνδράσι τῶν προβάτων ἀφειδέως πολλὰ κατακόψαν-
207 " τας, καὶ σκευάσαντας, προθεῖναι ἐν τῷ ςρατοπέδῳ τῷ
" ἡμετέρῳ δαῖτα· πρὸς δὲ, καὶ κρητῆρας ἀφειδέως οἴνου
" ἀκρήτυ, καὶ σιτία παντοῖα· ποιήσαντας δὲ ταῦτα, ὑπο-
" λειπομένυς τῆς ςρατιῆς τὸ φλαυρότατον, τὺς λοιπὺς
" αὖτις ἐξαναχωρέειν ἐπὶ τὸν ποταμόν· ἢν γὰρ ἐγὼ γνώ-
" μης μὴ ἁμάρτω, κεῖνοι ἰδόμενοι ἀγαθὰ πολλὰ, τρέ-
" ψονταί τε πρὸς αὐτὰ, ⲥ ἡμῖν τὸ ἐνθεῦτεν λείπεται
208 " ἀπόδεξις ἔργων μεγάλων." Γνῶμαι μὲν αὗται συν-

ἔςασαν. Κῦρος δὲ, μετεὶς τὴν προτέρην γνώμην, τὴν Κροίσου δὲ ἑλόμενος, προηγόρευε Τόμυρι ἐξαναχωρέειν, ὡς αὐτοῦ διαβησομένου ἐπ' ἐκείνην. Ἡ μὲν δὴ ἐξαναχώρεε, κατὰ ὑπέσχετο πρῶτα. Κῦρος δὲ Κροῖσον ἐς τὰς χεῖρας ἐσθεὶς τῷ ἑωϋτοῦ παιδὶ Καμβύσῃ, τῷπερ τὴν βασιληΐην ἐδίδου, καὶ πολλὰ ἐντειλάμενός οἱ τιμᾷν τε αὐτὸν καὶ εὖ ποιέειν, ἢν ἡ διάβασις ἡ ἐπὶ Μασσαγέτας μὴ ὀρθωθῇ· ταῦτα ἐντειλάμενος, καὶ ἀποςείλας τούτους ἐς Πέρσας, αὐτὸς διέβαινε τὸν ποταμὸν, καὶ ὁ ςρατὸς αὐτοῦ.

Cyrus transgreditur in fines Massagetarum.

Ἐπεί τε δὲ ἐπεραιώθη τὸν Ἀράξεα, νυκτὸς ἐπελθούσης, 209
εἶδε ὄψιν, εὕδων ἐν τῶν Μασσαγετέων τῇ χώρῃ, τοιήνδε· ἐδόκεε ὁ Κῦρος ἐν τῷ ὕπνῳ ὁρᾶν τῶν Ὑςάσπεος παίδων τὸν πρεσβύτατον ἔχοντα ἐπὶ τῶν ὤμων πτέρυγας· καὶ τουτέων τῇ μὲν τὴν Ἀσίην, τῇ δὲ τὴν Εὐρώπην ἐπισκιάζειν. Ὑςάσπεϊ δὲ τῷ Ἀρσάμεος, ἐόντι ἀνδρὶ Ἀχαιμενίδῃ, ἦν τῶν παίδων Δαρεῖος πρεσβύτατος, ἐὼν τότε ἡλικίην ἐς εἴκοσί κου μάλιςα ἔτεα· καὶ οὗτος καταλέλειπτο ἐν Πέρσῃσι· οὐ γὰρ εἶχέ κω ἡλικίην ςρατεύεσθαι. Ἐπεὶ ὦν δὴ ἐξεγέρθη ὁ Κῦρος, ἐδίδου λόγον ἑωϋτῷ περὶ τῆς ὄψιος· ὡς δέ οἱ ἐδόκεε μεγάλη εἶναι ἡ ὄψις, καλέσας Ὑςάσπεα, καὶ ἀπολαβὼν μοῦνον, εἶπε· "Ὑςασπες, "παῖς σὸς ἐπιβουλεύων ἐμοί τε καὶ τῇ ἐμῇ ἀρχῇ ἑά- "λωκε· ὡς δὲ ἀτρεκέως ταῦτα οἶδα, ἐγὼ σημανέω· "ἐμεῦ θεοὶ κήδονται, καί μοι πάντα προδεικνύουσι τὰ "ἐπιφερόμενα· ἤδη ὦν ἐν τῇ παροιχομένῃ νυκτὶ εὕδων, "εἶδον τῶν σῶν παίδων τὸν πρεσβύτατον ἔχοντα ἐπὶ "τῶν ὤμων πτέρυγας· καὶ τουτέων τῇ μὲν τὴν Ἀσίην, τῇ "δὲ τὴν Εὐρώπην ἐπισκιάζειν· οὔκων ἐςὶ μηχανὴ ἀπὸ "τῆς ὄψιος ταύτης οὐδεμίη, τὸ μὴ κεῖνον ἐπιβουλεύειν "ἐμοί· σὺ τοίνυν τὴν ταχίςην πορεύεο ὀπίσω ἐς Πέρσας,

Somnium ejus de Dario.

" καὶ ποίεε ὅκως, ἐπεὰν ἐγὼ τάδε καταστρεψάμενος ἔλ-
" θω ἐκεῖ, ὡς μοι κατασήσῃς τὸν παῖδα ἐς ἔλεγχον."
210 Κῦρος μὲν δοκέων Δαρεῖόν οἱ ἐπιβουλεύειν, ἔλεγε τάδε· τῷδε ὁ δαίμων προέφαινε ὡς αὐτὸς μὲν τελευτήσειε αὐτοῦ ταύτῃ μέλλοι, ἡ δὲ βασιληίη αὐτοῦ περιχωρέοι ἐς Δαρεῖον. Ἀμείβεται ὦν δὴ ὁ Ὑστάσπης τοιοῖσδε· " Ὦ
" βασιλεῦ, μὴ εἴη ἀνὴρ Πέρσης γεγονὼς, ὅστις τοι ἐπι-
" βουλεύσει, (εἰ δ' ἔστι, ἀπόλοιτο ὡς τάχιστα) ὃς ἀντὶ
" μὲν δούλων, ἐποίησας ἐλευθέρους Πέρσας εἶναι· ἀντὶ δὲ
" ἄρχεσθαι ὑπ' ἄλλων, ἄρχειν ἁπάντων· εἰ δέ τίς τοι
" ὄψις ἀπαγγέλλοι παῖδα τὸν ἐμὸν νεώτερα βουλεύειν
" περὶ σέο, ἐγώ τοι παραδίδωμι χρῆσθαι αὐτῷ τούτῳ ὅ,
" τι σὺ βούλεαι." Ὑστάσπης μὲν τούτοισι ἀμειψάμενος, καὶ διαβὰς τὸν Ἀράξεα, ἤιε ἐς Πέρσας, φυλάξων Κύρῳ τὸν παῖδα Δαρεῖον.

211 LII. Κῦρος δὲ προελθὼν ἀπὸ τοῦ Ἀράξεω ἡμέρης ὁδὸν, ἐποίεε τὰς Κροίσου ὑποθήκας· μετὰ δὲ ταῦτα, Κύρου τε καὶ Περσέων τοῦ καθαροῦ στρατοῦ ἀπελάσαντος ὀπίσω ἐπὶ τὸν Ἀράξεα, λειφθέντος δὲ τοῦ ἀχρηίου, ἐπελθοῦσα τῶν Μασσαγετέων τριημορὶς τοῦ στρατοῦ, τούς τε λειφθέντας τῆς Κύρου στρατιῆς ἐφόνευε ἀλεξομένους, καὶ τὴν προκειμένην ἰδόντες δαῖτα, ὡς ἐχειρώσαντο τοὺς ἐναντίους, κατιθέντες δαίνυντο· πληρωθέντες δὲ φορβῆς καὶ οἴνου, εὗδον· οἱ δὲ Πέρσαι ἐπελθόντες πολλοὺς μὲν σφέων ἐφόνευσαν, πολλῷ δ' ἔτι πλεῦνας ἐζώγρησαν, καὶ ἄλλους, καὶ τὸν τῆς Βασιληίης Τομύριος παῖδα, στρατηγέοντα Μασσαγετέων, τῷ ὄνομα ἦν Σπαργαπίσης. Ἡ δὲ, πυθομένη τά τε περὶ τὴν στρατιὴν γεγονότα καὶ τὰ περὶ τὸν παῖδα, πέμπουσα κήρυκα ἐς Κῦρον, ἔλεγε τάδε· " Ἄπλησε
" αἵματος Κῦρε, μηδὲν ἐπαρθῇς τῷ γεγονότι τῷδε πρή-

Cyrus aftu cædit Maſſagetas.

" γμαλι, εἰ ἀμπελίνῳ καρπῷ, τῷ περ αὐτοὶ ἐμπιπλά-
" μενοι μαίνεσθε ἅτω, ὥςε καλιόντος τὸ οἶνο ἐς τὸ
" σῶμα ἐπαναπλέειν ὑμῖν ἔπεα κακά, τοιούτῳ φαρ-
" μάκῳ δολώσας, ἐκράτησας παιδὸς τοῦ ἐμοῦ, ἀλλ' ἐ
" μάχῃ καλὰ τὸ καρτερόν· νῦν ὦν μευ εὖ παραινέσης
" ὑπόλαβε τὸν λόγον· ἀποδούς μοι τὸν παῖδα, ἄπιθι ἐκ
" τῆσδε τῆς χώρης ἀζήμιος, Μασσαγετέων τριτημορίδι
" τὸ στρατοῦ ε καλυβρίσας· εἰ δὲ ταῦτα οὐ ποιήσεις,
" ἥλιον ἐπόμνυμί τοι τὸν Μασσαγετέων δεσπότην, ἢ μήν
" σε ἐγὼ κὴ ἄπληστον ἐόντα, αἵματος κορέσω." Κῦρος 213
μέν νυν, τῶν ἐπέων οὐδένα τοιούτων ἀνενειχθέντων ἐπι- 215
ἔετο λόγον. Ὁ δὲ τῆς βασιληίης Τομύριος παῖς Σπαρ-
γαπίσης, ὡς μιν ὁ, τε οἶνος ἀνῆκε, καὶ ἔμαθε ἵνα ἦν
κακοῦ, δεηθεὶς Κύρου ἐκ τῶν δεσμῶν λυθῆναι ἔτυχε· ὡς
δὲ ἐλύθη τε τάχιστα, καὶ τῶν χειρῶν ἐκράτησε, διεργά-
ζεται ἑωυτόν· καὶ δὴ οὗτος μὲν τρόπῳ τοιούτῳ τελευτᾷ.
Τόμυρις δὲ, ὡς ὁ Κῦρος οὐκ ἐσήκουσε, συλλέξασα πᾶ- 214
σαν τὴν ἑωυτῆς δύναμιν, συνέβαλε Κύρῳ. Ταύτην τὴν
μάχην, ὅσαι δὴ βαρβάρων ἀνδρῶν μάχαι ἐγένοντο,
κρίνω ἰσχυροτάτην γενέσθαι, καὶ δὴ καὶ πυνθάνομαι ἅτω
τοῦτο γενόμενον· πρῶτα μὲν γὰρ λέγεται αὐτὰς διαστά-
σας ἐς ἀλλήλας τοξεύειν· μετὰ δὲ, ὡς σφι τὰ βέλεα 216
ἐξετετόξευτο, συμπεσόντας τῇσι αἰχμῇσί τε καὶ τοῖσι ἐγ-
χειριδίοισι συνέχεσθαι· χρόνον τε δὴ ἐπὶ πολλὸν συνε-
στάναι μαχομένους, καὶ ἀσθετέρους ἐθέλειν φεύγειν· τέλος
δὲ, οἱ Μασσαγέται ἐπεκράτησαν· ἥ τε δὴ πολλὴ τῆς
Περσικῆς στρατιῆς αὐτῇ ταύτῃ διεφθάρη· καὶ δὴ Ϲ αὐτὸς

Spargapises reginæ filius.

ε Rarius cum dativo jungitur; at Soph. Aj. Flag. 153. Τοῖς σοῖς ἄχεσιν καθυβρίζων.

Κῦρος πλευτᾷ, βασιλεύσας τὰ πάντα ἐνὸς δέοντα τρι- Cyri mors.
ήκοντα ἔτια. Ἀσκὸν δὲ πλήσαντα αἵματος ἀνθρωπηίου Ol. LXII. 4.
Τόμυρις, ἐδίζετο ἐν τοῖσι τεθνεῶσι τῶν Περσέων τὸν Κύρον νέκυν· ὡς δὲ εὗρε, ἐναπῆκε αὐτοῦ τῇ κεφαλῇ ἐς τὸν ἀσκόν· λυμαινομένη δὲ τῷ νεκρῷ, ἐπέλεγε τάδε· "Σὺ μὲν ἐμὲ ζώοντα τε καὶ νικῶσάν σε μάχῃ ἀπώ- "λεσας, παῖδα τὸν ἐμὸν ἐλὼν δόλῳ· σὲ δ' ἐγὼ, κα- "τάπερ ἠπείληκα, αἵματος κορέσω." Τὰ μὲν δὴ κατὰ τὸν Κῦρον τελευτὴν τὸν βίου, πολλῶν λόγων λεγομένων[h], ὅδε μοι ὁ πιθανώτατος εἴρηται. A. C. 529. Tomyris ultio.

213

215 LIII. Μασσαγέται δὲ ἐσθῆτά τε ὁμοίην τῇ Σκυθικῇ Massagetarum cultus et mores.
φορέουσι, καὶ δίαιταν ἔχουσι· ἱππόται δέ εἰσι καὶ ἄνιπποι· ἀμφοτέρων γὰρ μετέχουσι· καὶ τοξόται τε καὶ αἰχμοφόροι, συγάρεις νομίζοντες ἔχειν· χρυσῷ δὲ καὶ χαλκῷ τὰ πάντα χρέωνται· ὅσα μὲν γὰρ ἐς αἰχμὰς καὶ ἄρδεις[i] καὶ σαγάρεις, χαλκῷ τὰ πάντα χρέωνται· ὅσα δὲ περὶ κεφαλὴν, καὶ ζωστῆρας, καὶ μασχαλιστῆρας, χρυσῷ κοσμέονται· ὡς δ' αὖτως τῶν ἵππων τὰ μὲν περὶ τὰ στέρνα, χαλκέους θώρηκας περιβάλλουσι· τὰ δὲ περὶ τοὺς χαλινοὺς καὶ στόμια καὶ φάλαρα, χρυσῷ· σιδήρῳ δὲ οὐδ' ἀργύρῳ χρέωνται οὐδέν· οὐδὲ γὰρ οὐδὲ σφί ἐστι ἐν τῇ
216 χώρῃ· ὁ δὲ χαλκὸς καὶ ὁ χρυσὸς, ἄπλετος. Νόμοισι δὲ χρέωνται τοιοῖσδε· γυναῖκα μὲν γαμέει ἕκαστος, ταύτῃσι δὲ ἐπὶ κοινὰ χρέωνται· ὃ γὰρ Σκύθας φασὶ Ἕλληνες ποιέειν, οὐ Σκύθαι εἰσὶ οἱ ποιέοντες, ἀλλὰ Μασσαγέται· τῆς γὰρ ἐπιθυμήσει γυναικὸς Μασσαγέτης ἀνὴρ, τὸν φαρετρεῶνα ἀποκρεμάσας πρὸ τῆς ἁμάξης,

[h] Cyrus cruci affixus fuisse dicitur apud Diodor. ii. 44.

[i] Vid. ad iv. 81.

μίσγεται ἀδεῶς. Οὗρος δὲ ἡλικίης σφι προκειται ἄλλος μὲν οὐδεὶς, ἐπεὰν δὲ γέρων γένηται κάρτα, οἱ προσήκοντες οἱ πάντες συνελθόντες θύσι μιν, καὶ ἄλλα πρόβατα ἅμα αὐτῷ· ἑψήσαντες δὲ τὰ κρέα, κατευωχέονται· ταῦτα μὲν τὸ ὀλβιώτατόν σφι νενόμισται· τὸν δὲ νούσῳ τελευτήσαντα οὐ [k]κατασιτέονται, ἀλλὰ γῇ κρύπτουσι, συμφορὴν ποιεύμενοι, ὅτι οὐκ ἵκετο ἐς τὸ τυθῆναι. Σπείρουσι δὲ οὐδέν, ἀλλ' ἀπὸ κτηνέων ζώουσι καὶ ἰχθύων· οἱ δὲ, ἄφθονοί σφι ἐκ τοῦ Ἀράξεω ποταμοῦ παραγίνονται· γαλακτοπόται δέ εἰσι. Θεῶν δὲ μοῦνον ἥλιον σέβονται, τῷ θύουσι ἵππους· νόμος δὲ οὗτος τῆς θυσίης· τῶν θεῶν τῷ ταχίστῳ, πάντων τῶν θνητῶν τὸ τάχιστον δατέονται.

[k] Cf. Fragm. Pythag. Galei Opuſc. Mythol. p. 713. Μασσαγέται δὲ τὼς γονέας καλαπόψαντες καλέουσι, καὶ τάφος καλλιστος δοκεῖ ἦμεν, ἐν τοῖς τέκνοις τεθάφθαι.

II FE 69